ΑΡΙΣΤΟΤΕΛΗΣ
ΚΑΤΗΓΟΡΙΑΙ

ARİSTOTELES



KATEGORİLER

İMGE

Aristoteles
Kategoriai
ISBN 975-533-125-5
© Imge Kitabevi Yayınları, 1996
Tüm hakları saklıdır.
Yayıncı izni olmadan, kısmen de olsa
fotokopi, film vb. elektronik ve mekanik
yöntemlerle çoğaltılamaz.

1. Baskı: Ocak 1996
2. Baskı: Eylül 2002

Sorumlu Yazı İşleri Müdürü
Hasan Tahsin Benli

Kapak
Nurafer Kars

Dizgi
Yalçın Ateş

Baskı ve Cilt
Pelin Ofset (312) 418 70 93/94

Imge Kitabevi
Yayıncılık Paz. San. ve Tic. Ltd. Şti.
Konur Sok. No: 3 Kızılay 06650 Ankara
Tel: (312) 419 46 10 - 419 46 11 • Faks: (312) 425 29 87
İnternet: www.imge.com.tr
E-Posta: imge@imge.com.tr

Imge Dağıtım

Ankara
Konur Sokak No: 43/A Kızılay
Tel: (312) 417 50 95/96 - 418 28 65
Faks: (312) 425 65 32

Istanbul
Mühürdar Cad. No: 80 Kadıköy
Tel: (216) 348 60 58
Faks: (216) 418 26 10

Aristoteles



Kategoriler

Yunanca Aslından Çeviren
Saffet Babür

2. Baskı

İMGE kitabevi

ΚΑΤΗΓΟΡΙΑΙ

KATEGORİLER

[ΚΑΤΗΓΟΡΙΑΙ]

1 Ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ 1ª
τοὔνομα λόγος τῆς οὐσίας ἕτερος, οἷον ζῷον ὅ τε ἄνθρω-
πος καὶ τὸ γεγραμμένον· τούτων γὰρ ὄνομα μόνον κοινόν,
ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος· ἐὰν γὰρ
ἀποδιδῷ τις τί ἐστιν αὐτῶν ἑκατέρῳ τὸ ζῴῳ εἶναι, ἴδιον
ἑκατέρου λόγον ἀποδώσει. συνώνυμα δὲ λέγεται ὧν τό τε
ὄνομα κοινὸν καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός,
οἷον ζῷον ὅ τε ἄνθρωπος καὶ ὁ βοῦς· τούτων γὰρ ἑκάτερον
κοινῷ ὀνόματι προσαγορεύεται ζῷον, καὶ ὁ λόγος δὲ
τῆς οὐσίας ὁ αὐτός· ἐὰν γὰρ ἀποδιδῷ τις τὸν ἑκατέρου
λόγον τί ἐστιν αὐτῶν ἑκατέρῳ τὸ ζῴῳ εἶναι, τὸν αὐτὸν
λόγον ἀποδώσει. παρώνυμα δὲ λέγεται ὅσα ἀπό τινος δια-
φέροντα τῇ πτώσει τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει,
οἷον ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικὸς καὶ ἀπὸ τῆς
ἀνδρείας ὁ ἀνδρεῖος.

2 Τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται, τὰ
δὲ ἄνευ συμπλοκῆς. τὰ μὲν οὖν κατὰ συμπλοκήν, οἷον
ἄνθρωπος τρέχει, ἄνθρωπος νικᾷ· τὰ δὲ ἄνευ συμπλοκῆς,
οἷον ἄνθρωπος, βοῦς, τρέχει, νικᾷ.

Τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου τινὸς λέγεται, ἐν

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΚΑΤΗΓΟΡΙΑΙ nBΔ(Λ)*PI*: LIBER ARISTOTELIS DE DECEM PREDICAMENTIS (Λ)Γ: aliter alii (*ΠΡΟ ΤΩΝ ΤΟΠ(ΙΚ)ΩΝ*, vel *ΠΕΡΙ ΤΩΝ ΓΕΝΩΝ ΤΟΥ ΟΝΤΟΣ*, vel *ΠΕΡΙ ΤΩΝ ΔΕΚΑ ΓΕΝΩΝ*, vel *ΚΑΤΗΓΟΡΙΑΙ ΔΕΚΑ*) testibus Porph., Simpl., etc.
1ª2 *τῆς οὐσίας* om. Andronicus et Boethus testibus Porph. et Dexippo: •πδαᵈφᵈοᵈαᵈηᵈσᵈ, Herminus teste Porph. ζ *τις ἀποδιδῷ* B, ?Λ: •παφο 6 *ἀποδίδωσι* n,?*PIΓ*: •πφᵈο *δὲ* om. π(η),?*P*: •φοσ 7 *κατὰ τοὔνομα* om. Γ(φ)η, Alex. Aphr. teste Simpl., alii teste Iambl. ap. Simpl.: •πο: [*P*] *τῆς οὐσίας* om. Γ, Iambl. et Syrian. teste Simpl., alii teste Porph.: •πφοη: [*P*] 8 *ὅ τε . . . ἑκάτερον*] *ὅ τε* (*ὁ γὰρ* π: *ὅ τε γὰρ* Γ) *ἄνθρ. καὶ ὁ βοῦς* ΔΓπ: *ὅ τε ἄνθρ. καὶ ὁ βοῦς· ὁ γὰρ ἄνθρ. καὶ ὁ βοῦς* B*I*: [*P*] 10 *τῆς οὐσίας* om. π *ἑκάστου* πη: [*PIΓ*] 11 *ἑκατέρῳ* om. Γπ 12 *λόγον* post *ἀποδώσει* pon. ΔΛπη: om. Γ: [*P*] *ἀποδίδωσι* n,?Γ: •πη: [*P*] 13 *νικᾷ τρέχει* B: •παᶜφοᵈηᶦᵒᶦ

1[a] Yalnızca adları ortak, ada göre varlığının tanımı başka olanlara eşadlılar denir; sözgelişi hem gerçek insana hem de resmedilmiş insana canlı denir. Bunların yalnızca adları ortak, ada göre varlıklarının tanımı ise başka; her biri için canlı olmanın ne olduğu açıklanacak olsa, her biri için, kendine özgü olan tanım verilecek. Adları ortak, ada göre varlıklarının tanımı da aynı olanlara eşanlamlılar denir; örneğin hem insan hem de öküz canlıdır, bunlara ortak bir adla canlı denir, varlıklarının tanımı da aynı; her biri için canlı olmanın ne olduğu açıklanacak olsa, aynı tanım verilecek. Hal bakımından değişik olmalarına karşın, ada göre adlandırılanlara türemişler denir; sözgelişi dilbilimden dilbilimci, yiğitlikten yiğit.

Kimi söylenenler bağlantıyla, kimi bağlantısız söylenir: Bağlantıyla, sözgelişi 'insan koşuyor', 'insan galip geliyor'; bağlantısız olanlar, 'insan', 'öküz', 'koşuyor', 'galip geliyor'.

Kimi olanlar belli bir taşıyıcı için söylenir, ama hiç-

ὑποκειμένῳ δὲ οὐδενί ἐστιν, οἷον ἄνθρωπος καθ' ὑποκειμένου μὲν λέγεται τοῦ τινὸς ἀνθρώπου, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν· τὰ δὲ ἐν ὑποκειμένῳ μέν ἐστι, καθ' ὑποκειμένου δὲ οὐδενὸς λέγεται, –ἐν ὑποκειμένῳ δὲ λέγω ὃ ἔν τινι μὴ ὡς μέρος
25 ὑπάρχον ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστίν,– οἷον ἡ τὶς γραμματικὴ ἐν ὑποκειμένῳ μέν ἐστι τῇ ψυχῇ, καθ' ὑποκειμένου δὲ οὐδενὸς λέγεται, καὶ τὸ τὶ λευκὸν ἐν ὑποκειμένῳ μέν ἐστι τῷ σώματι, –ἅπαν γὰρ χρῶμα ἐν σώματι,– καθ' ὑποκειμένου δὲ οὐδενὸς λέγεται· τὰ δὲ καθ' ὑποκειμένου τε
1b λέγεται καὶ ἐν ὑποκειμένῳ ἐστίν, οἷον ἡ ἐπιστήμη ἐν ὑποκειμένῳ μέν ἐστι τῇ ψυχῇ, καθ' ὑποκειμένου δὲ λέγεται τῆς γραμματικῆς· τὰ δὲ οὔτε ἐν ὑποκειμένῳ ἐστὶν οὔτε καθ' ὑποκειμένου λέγεται, οἷον ὁ τὶς ἄνθρωπος ἢ ὁ τὶς ἵπ-
5 πος, –οὐδὲν γὰρ τῶν τοιούτων οὔτε ἐν ὑποκειμένῳ ἐστὶν οὔτε καθ' ὑποκειμένου λέγεται·– ἁπλῶς δὲ τὰ ἄτομα καὶ ἓν ἀριθμῷ κατ' οὐδενὸς ὑποκειμένου λέγεται, ἐν ὑποκειμένῳ δὲ ἔνια οὐδὲν κωλύει εἶναι· ἡ γὰρ τὶς γραμματικὴ τῶν ἐν ὑποκειμένῳ ἐστίν.
10 Ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκει- 3
μένου, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, πάντα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται· οἷον ἄνθρωπος κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορεῖται, τὸ δὲ ζῷον κατὰ τοῦ ἀνθρώπου· οὐκοῦν καὶ κατὰ τοῦ τινὸς ἀνθρώπου τὸ ζῷον κατηγορηθήσε-
15 ται· ὁ γὰρ τὶς ἄνθρωπος καὶ ἄνθρωπός ἐστι καὶ ζῷον. τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραί, οἷον ζῴου καὶ ἐπιστήμης·

21 δὲ] γε n 1 ᵒπαʿφοη: |T| 22 δὲ] γε n: ᵒπ: [T] 28 τῷ σώματί ἐστιν B: ᵒο 1b4 ὑποκειμένου + τινὸς no: ᵒπαᶜφᶜ ᾗ] καὶ nBΓ: ᵒφᶜ 6 ὑποκειμένου + τινὸς (Δ)(σ) 8 ἕνια] αὐτὰ Λ1: αὐτῶν Δ: om. o, ?Pσ: ᵒφdoc ὑποκειμένῳ + μὲν Γ(φ): ᵒσ [Δ] 9 ἐστίν (+ τῇ ψυχῇ Γ) + καθ' ὑποκειμένου δὲ οὐδενὸς λέγεται (Δ)Γφ 11 πάντα] ταῦτα (φ): τοσαῦτα P(π)(δ)aᶜoᶜη 12 alt. κατὰ om. Γ: [ΔΛPI] 14 κατηγορηθήσεται τὸ ζῷον BPΓ ζῷον + ἄρα n 16 ἑτέρων γενῶν (δ)(φ)(σ): ᵒπaᵈoᵈηᵈσᶜ: [T]

bir taşıyıcı içinde olmaz; sözgelişi 'insan' taşıyıcı olarak belli bir insan için söylenir, ama hiçbir taşıyıcı içinde değildir. Kimi olanlar bir taşıyıcı içinde olur ama hiçbir taşıyıcı için söylenmez –taşıyıcı içinde dediğim, bir şeyin içinde parça olarak bulunan değil, içinde bulunduğu nesneden ayrı olarak bulunamayan–; örneğin dilbilimi taşıyıcı içinde, ruhta bulunur ama, hiçbir taşıyıcı için söylenmez. Aklık bir taşıyıcı içinde, cisimde bulunur –çünkü her renk bir cisim içindedir– ama hiçbir taşıyıcı için söylenmez. Kimi olanlar hem bir taşıyıcı için söylenir hem de bir taşıyıcı içinde olur; örneğin bilgi bir taşıyıcı içindedir, ruhtadır ve bir taşıyıcı için, sözgelişi dilbilimi taşıyıcısı için söylenir. Kimi olanlar ise ne bir taşıyıcı içindedir ne de bir taşıyıcı için söylenir; örneğin belli bir insan ya da belli bir at –çünkü bu tür nesnelerin hiçbiri ne bir taşıyıcı içindedir ne de bir taşıyıcı için söylenir–. Öte yandan bölünemeyen ve sayıca tek olan nesneler genel anlamda hiçbir taşıyıcı için söylenmez, ama kimilerinin bir taşıyıcı içinde olmasına engel yoktur; nitekim belli bir dilbilgisi bir taşıyıcı içinde olanlardandır.

Bir nesne bir başka nesneye taşıyıcı olarak yüklendiğinde, yüklenen için söylenenlerin hepsi taşıyıcı için de söylenecektir; örneğin 'insan' belli bir insana yüklenir, 'canlı' ise insana: O halde 'canlı' da belli bir insana yüklenecektir, nitekim belli bir insan hem 'insan'dır hem de 'canlı'dır. Ayrı cinsten olanların ve türce birbiri altında dizilmeyenlerin ayırıcı özellikleri de başka olur; sözgelişi hayvanın ve bilginin: Hayvanın ayırıcı özellik-

ζῴου μὲν γὰρ διαφοραὶ τό τε πεζὸν καὶ τὸ πτηνὸν καὶ τὸ ἔνυδρον καὶ τὸ δίπουν, ἐπιστήμης δὲ οὐδεμία τούτων· οὐ γὰρ διαφέρει ἐπιστήμη ἐπιστήμης τῷ δίπους εἶναι. τῶν δέ γε ὑπ' ἄλληλα γενῶν οὐδὲν κωλύει τὰς αὐτὰς διαφορὰς εἶναι· τὰ γὰρ ἐπάνω τῶν ὑπ' αὐτὰ γενῶν κατηγορεῖται, ὥστε ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσι τοσαῦται καὶ τοῦ ὑποκειμένου ἔσονται.

4 Τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον ἤτοι οὐσίαν σημαίνει ἢ ποσὸν ἢ ποιὸν ἢ πρός τι ἢ ποὺ ἢ ποτὲ ἢ κεῖσθαι ἢ ἔχειν ἢ ποιεῖν ἢ πάσχειν. ἔστι δὲ οὐσία μὲν ὡς τύπῳ εἰπεῖν οἷον ἄνθρωπος, ἵππος· ποσὸν δὲ οἷον δίπηχυ, τρίπηχυ· ποιὸν δὲ οἷον λευκόν, γραμματικόν· πρός τι δὲ οἷον διπλάσιον, ἥμισυ, μεῖζον· ποὺ δὲ οἷον ἐν Λυκείῳ, ἐν 2ª ἀγορᾷ· ποτὲ δὲ οἷον χθές, πέρυσιν· κεῖσθαι δὲ οἷον ἀνάκειται, κάθηται· ἔχειν δὲ οἷον ὑποδέδεται, ὥπλισται· ποιεῖν δὲ οἷον τέμνειν, καίειν· πάσχειν δὲ οἷον τέμνεσθαι, καίεσθαι. ἕκαστον δὲ τῶν εἰρημένων αὐτὸ μὲν καθ' αὑτὸ ἐν οὐδεμιᾷ κατα- 5 φάσει λέγεται, τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ κατάφασις γίγνεται· ἅπασα γὰρ δοκεῖ κατάφασις ἤτοι ἀληθὴς ἢ ψευδὴς εἶναι, τῶν δὲ κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδός ἐστιν, οἷον ἄνθρωπος, λευκόν, τρέχει, νικᾷ. 10

5 Οὐσία δέ ἐστιν ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη, ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται

18 διαφοραὶ+οἷον BΛπφ, ʾΓ: °ο τε om. πφο: [ΛΡΓ] 18–19 πτηνὸν . . . ἔνυδρον . . . δίπουν] δίπ. . . . πτ. . . . ἔν. BΔ: πτ. . . . δίπ. . . . ἔν. PIφ: δίπ. . . . πτ. π,ʾο: πτ. . . . δίπ. Λ 20 γε om. (π)ao^c,ʾI: °φη^c: [ΔΛΡΓ] 21 εἶναι διαφορὰς θ(φ)o^cσ^c, Ibuthus teste Simpl., ʾΛ: °π: [ʾΡΙΓ] 23 τοῦ bis] κατὰ τοῦ n:°πσ^c 2ª1 ἥμισυ om. BΛΡ μεῖζον om. I 1–2 ἐν ἀγορᾷ ἐν Λυκείῳ B: ἐν Λυκείῳ ΛΓ,ʾπ 2 πέρυσιν om. ΛΡ: °π 5 αὐτὰ . . . αὑτὰ Λo^c: °φοσ^c 6 λέγεται+ἡ ἀποφάσει nBΔΡφ(σ^c): °ο, optimi libri teste Ammonio 7 prius κατάφασις+ἢ (καὶ Δ) ἀπόφασις nBΔa^cφο: °σ^c: [P] alt. κατάφασις+ἢ (καὶ BΔ) ἀπόφασις nBΔ(α),ʾΡ 10 λευκόν (-ός n,ʾΠΓ)] βοῦς P(σ) νικᾷ om. ΛΠΓ(σ) 11 τε om. π(φ)(ο)η(σ^d): [T] 12 τινὸς om. Λl: °αφ^dσηο^d

leri, karada yaşama, uçma, suda yaşama, iki ayaklı olma; oysa bilgininkiler bunlardan hiçbiri değil; nitekim bir bilgi bir başka bilgiden iki ayaklı olmak bakımından ayrılmaz. Birbiri altında olan cinslerin ayırıcı özelliklerinin aynı olmasına ise bir engel yok: Yukarıdakiler onların altındaki cinslere yüklenir; o halde yüklenenin ayırıcı özellikleri taşıyıcının da ayırıcı özellikleri olacaktır.

Bir bağlantı içinde söylenmeyenlerin her biri varlık, nicelik, nitelik, görelik, uzam, zaman, durum, iyelik, etkinlik ya da edilginlik belirtir. Biçimsel olarak söylersek, insan, at varlık; iki dirsek, üç dirsek nicelik; ak, dilbilimci nitelik; iki misil, yarım, daha büyük görelik; Lykeion'da, çarşıda uzam; dün, geçen yıl zaman; uzanmış, oturuyor durum; ayakkabılı, silahlı iyelik; kesmek, yakmak etkinlik; kesilmek, yakılmak edilginlik belirtir. Söylediklerimizden her biri kendisi, tek başına önerme olmaz; önerme bunların birbirine bağlanmasıyla olur. Çünkü her önermenin doğru ya da yanlış olduğu görünüyor, oysa bir bağlantı içinde söylenmeyenlerin hiçbiri ne doğru ne de yanlış oluyor: Sözgelişi 'insan', 'ak', 'koşuyor', 'galip geliyor'.

İlk başta ve asıl anlamıyla varlık, ne bir taşıyıcı için söylenen ne de bir taşıyıcı içinde olan varlıktır; örneğin

μήτε ἐν ὑποκειμένῳ τινί ἐστιν, οἷον ὁ τὶς ἄνθρωπος ἢ ὁ τὶς ἵππος. δεύτεραι δὲ οὐσίαι λέγονται, ἐν οἷς εἴδεσιν αἱ πρώτως οὐσίαι λεγόμεναι ὑπάρχουσιν, ταῦτά τε καὶ τὰ τῶν εἰδῶν τούτων γένη· οἷον ὁ τὶς ἄνθρωπος ἐν εἴδει μὲν ὑπάρχει τῷ ἀνθρώπῳ, γένους δὲ τοῦ εἴδους ἐστὶ τὸ ζῷον· δεύτεραι οὖν αὗται λέγονται οὐσίαι, οἷον ὅ τε ἄνθρωπος καὶ τὸ ζῷον. φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι τῶν καθ' ὑποκειμένου λεγομένων ἀναγκαῖον καὶ τοὔνομα καὶ τὸν λόγον κατηγορεῖσθαι τοῦ ὑποκειμένου· οἷον ἄνθρωπος καθ' ὑποκειμένου λέγεται τοῦ τινὸς ἀνθρώπου, καὶ κατηγορεῖταί γε τοὔνομα, –τὸν γὰρ ἄνθρωπον κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορήσεις·– καὶ ὁ λόγος δὲ τοῦ ἀνθρώπου κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορηθήσεται, –ὁ γὰρ τὶς ἄνθρωπος καὶ ἄνθρωπός ἐστιν·– ὥστε καὶ τοὔνομα καὶ ὁ λόγος κατὰ τοῦ ὑποκειμένου κατηγορηθήσεται. τῶν δ' ἐν ὑποκειμένῳ ὄντων ἐπὶ μὲν τῶν πλείστων οὔτε τοὔνομα οὔτε ὁ λόγος κατηγορεῖται τοῦ ὑποκειμένου· ἐπ' ἐνίων δὲ τοὔνομα μὲν οὐδὲν κωλύει κατηγορεῖσθαι τοῦ ὑποκειμένου, τὸν δὲ λόγον ἀδύνατον· οἷον τὸ λευκὸν ἐν ὑποκειμένῳ ὂν τῷ σώματι κατηγορεῖται τοῦ ὑποκειμένου, –λευκὸν γὰρ σῶμα λέγεται,– ὁ δὲ λόγος τοῦ λευκοῦ οὐδέποτε κατὰ τοῦ σώματος κατηγορηθήσεται.—τὰ δ' ἄλλα πάντα ἤτοι καθ' ὑποκειμένων λέγεται τῶν πρώτων οὐσιῶν ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστίν. τοῦτο δὲ φανερὸν ἐκ τῶν καθ' ἕκαστα προχειριζομένων· οἷον τὸ ζῷον κατὰ τοῦ ἀνθρώπου κατηγορεῖται, οὐκοῦν καὶ κατὰ τοῦ τινὸς ἀνθρώπου, –εἰ γὰρ κατὰ μηδενὸς τῶν τινῶν

13 τινί om. *ΛΙΓ*: °φ^{d}οηο^{d} ἢ] καὶ n(φ): °ος 14 λέγονται+τὰ εἴδη *Λ*η: °φ^{d}ο: [*ΡΙΓ*] 15 λεγόμεναι οὐσίαι nα(φ^{d})η: °πο: [*ΔΛΡ*] 16 ἄνθρωπος+ὡς nπ 17 δευτέρως nΔΓ: °εο 21 οἷον+ὁ B: [*ΛΡΙΓ*] 23 ἄνθρωπον+καὶ n*I*: [*ΔΛΡ*] 24 δὲ+ὁ B: [*Τ*] prius ἀνθρώπου+καὶ *ΙΓ*: [*ΔΛΡ*] 26 ἐστιν+καὶ ζῷον (+λογικὸν θνητόν (*Λ*)) *Δ*(*Λ*)P: +καὶ ἄνθρωπος λέγεται vel similia *ΙΓ* 27 κατηγορεῖται n*I* 30 κατηγορεῖσθαι+ποτε n(*Λ*) τοῦ ὑποκειμένου om. *ΙΓ* 33 λόγος+ὁ B,?*I*: [*ΔΛΡ*] alt. τοῦ om. BΔ: [*ΛΡΙΓ*] 38 ἀνθρώπου+κατηγορηθήσεται *Λ*: +κατηγ. τὸ ζῷον BP τινῶν om. *ΔΓ*

belli bir insan ya da belli bir at. Türce ilk varlıklar denenlerle bu türlerin cinsleri içinde bulunanlara ise ikincil varlıklar denir; sözgelişi belli bir insan tür olarak 'insan' dadır, türünün cinsi ise 'canlı'. O halde, bunlara, 'insan' ve 'canlı'ya ikincil varlıklar denir. Söylediklerimizden açık ki, bir taşıyıcıya yüklenenlerde hem adın hem de tanımın taşıyıcıya yüklenmesi zorunlu; sözgelişi 'insan' taşıyıcı olarak belli bir insana yüklenir, adı da belli bir insana yüklenir –çünkü 'insan'ı belli bir insana yükleyeceksin–; 'insan'ın tanımı da belli bir insana yüklenecektir –çünkü belli bir insan 'insandır'– O halde hem ad hem tanım taşıyıcıya yüklenmiş olacaktır. Taşıyıcı içinde olanların çoğunda ne ad ne tanım taşıyıcıya yüklenir ama, kimilerinde adın taşıyıcıya yüklenmesine bir engel yoktur, tanımın yüklenmesi ise olanaksızdır; sözgelişi taşıyıcı olarak cisimde olan 'ak' taşıyıcıya yüklenir, 'ak cisim' denir –oysa aklık tanımı hiçbir zaman cisme yüklenmeyecektir–. Ötekilerin hepsi ya taşıyıcı olarak ilk varlıklara yüklenir ya da onların içindedir: Bu tek tek ele alınanlarda açıktır: Sözgelişi 'canlı' 'insan'a yüklenir, o zaman belli bir insana da yüklenir –çünkü belli insanlardan hiçbirine yüklenmeseydi genel anlamda 'in-

ἀνθρώπων, οὐδὲ κατὰ ἀνθρώπου ὅλως·– πάλιν τὸ χρῶμα 2b
ἐν σώματι, οὐκοῦν καὶ ἐν τινὶ σώματι· εἰ γὰρ μὴ ἐν
τινὶ τῶν καθ' ἕκαστα, οὐδὲ ἐν σώματι ὅλως· ὥστε τὰ
ἄλλα πάντα ἤτοι καθ' ὑποκειμένων τῶν πρώτων οὐσιῶν
λέγεται ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστίν. μὴ οὐσῶν οὖν 5
τῶν πρώτων οὐσιῶν ἀδύνατον τῶν ἄλλων τι εἶναι· πάντα
γὰρ τὰ ἄλλα ἤτοι καθ' ὑποκειμένων τούτων λέγεται ἢ ἐν 6a
ὑποκειμέναις αὐταῖς ἐστίν· ὥστε μὴ οὐσῶν τῶν πρώτων οὐ- 6b
σιῶν ἀδύνατον τῶν ἄλλων τι εἶναι. 6c

Τῶν δὲ δευτέρων οὐσιῶν μᾶλλον οὐσία τὸ εἶδος τοῦ
γένους· ἔγγιον γὰρ τῆς πρώτης οὐσίας ἐστίν. ἐὰν γὰρ ἀπο-
διδῷ τις τὴν πρώτην οὐσίαν τί ἐστι, γνωριμώτερον καὶ οἰ-
κειότερον ἀποδώσει τὸ εἶδος ἀποδιδοὺς ἢ τὸ γένος· οἷ- 10
ον τὸν τινὰ ἄνθρωπον γνωριμώτερον ἂν ἀποδοίη ἄνθρω-
πον ἀποδιδοὺς ἢ ζῷον, –τὸ μὲν γὰρ ἴδιον μᾶλλον τοῦ
τινὸς ἀνθρώπου, τὸ δὲ κοινότερον,– καὶ τὸ τί δένδρον ἀποδι-
δοὺς γνωριμώτερον ἀποδώσει δένδρον ἀποδιδοὺς ἢ φυτόν.
ἔτι αἱ πρῶται οὐσίαι διὰ τὸ τοῖς ἄλλοις ἅπασιν ὑποκεῖ- 15
σθαι καὶ πάντα τὰ ἄλλα κατὰ τούτων κατηγορεῖσθαι ἢ
ἐν ταύταις εἶναι διὰ τοῦτο μάλιστα οὐσίαι λέγονται· ὡς δέ
γε αἱ πρῶται οὐσίαι πρὸς τὰ ἄλλα ἔχουσιν, οὕτω καὶ
τὸ εἶδος πρὸς τὸ γένος ἔχει· –ὑπόκειται γὰρ τὸ εἶδος
τῷ γένει· τὰ μὲν γὰρ γένη κατὰ τῶν εἰδῶν κατηγορεῖται, 20
τὰ δὲ εἴδη κατὰ τῶν γενῶν οὐκ ἀντιστρέφει·– ὥστε καὶ ἐκ
τούτων τὸ εἶδος τοῦ γένους μᾶλλον οὐσία.—αὐτῶν δὲ τῶν εἰ-
δῶν ὅσα μή ἐστι γένη, οὐδὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία

2b3 τινί + τῶν σωμάτων (vel sim.) (Δ)ΛP 4–5 λέγεται τῶν . . . οὐσιῶν B: *σc: [T] 6 et 6c τι τῶν ἄλλων n: *σc: [ΛPΓ] 6–6c verba πάντα . . . εἶναι dittographiam arbitratus expungenda esse dixit Simplicius, quem editores omnes secuti sunt 6b–c ὥστε . . . εἶναι om. Δ: *σc 10 εἶδος + μᾶλλον n: *φοη ἢ] ἥπερ Bo: *φη: [T] 11 prius ἄνθρωπον + ἀποδιδοὺς nBΓ ἀποδοίη + καὶ οἰκειότερον nP 12 ἢ ζῷον ἀποδιδοὺς B: ἢ ζῷον Γ 17 οὐσίαι + πρῶται nBΔϕ 18 ἄλλα + πάντα BΔΛP(ϕ) 20 κατὰ om. n: [T]

2b san'a da yüklenmezdi. Yine, renk bir cisim içindedir, öyleyse belli bir cismin de içindedir. Tek tek olanların hiçbirinde olmasaydı genelde 'cisim'de de olmazdı. Demek ki ötekilerin hepsi ya taşıyıcı olarak ilk varlıklara
5 yüklenir ya da onların içinde olur. O halde ilk varlıklar olmadığında başka bir nesnenin olması olanaksızdır. Ni-
6a tekim bütün öteki nesneler ya taşıyıcı olarak onlar için
6b söylenir ya da onların içindedir: Sonuç olarak, ilk varlık-
6c lar olmadığında bir başka nesnenin olması olanaksızdır.

İkincil varlıklar içinde tür, cinsten daha çok varlık olur; çünkü ilk varlığa daha yakın. İlk varlığın ne olduğu açıklanacak olsa, cins yerine tür verilirse daha bilinir ve
10 yaklaşık bir açıklama verilmiş olacaktır; sözgelişi belli bir insan 'hayvan' yerine 'insan' verilerek daha bilinir olarak açıklanabilir. –çünkü ikincisi belli bir insana daha özgü, öteki daha ortak–. Yine, belli bir ağaç için 'bitki' yerine 'ağaç' verilerek daha bilinir açıklama getirilebilir.
15 Öte yandan ilk varlıklar, bütün öteki nesneler için taşıyıcı olmaları, öteki nesnelerin hepsinin onlara yüklenmeleri ya da onların içinde olmaları nedeniyle, bundan ötürü asıl anlamda varlıklar adını alırlar. İlk varlıkların öteki nesnelerle ilişkisi nasılsa, türün cinsle ilişkisi de öyledir –çünkü tür cins için bir taşıyıcıdır, cinsler türlere yükle-
20 nir, oysa türler cinslere yüklenmez–. O halde bu nedenle de tür cinse göre daha çok varlık olur. Cins olmadığında türlerden biri ötekinden daha çok varlık olmaz: Nitekim

ἐστίν· οὐδὲν γὰρ οἰκειότερον ἀποδώσει κατὰ τοῦ τινὸς ἄν-
25 θρώπου τὸν ἄνθρωπον ἀποδιδοὺς ἢ κατὰ τοῦ τινὸς ἵππου τὸν ἵππον. ὡσαύτως δὲ καὶ τῶν πρώτων οὐσιῶν οὐδὲν μᾶλλον ἕτερον ἑτέρου οὐσία ἐστίν· οὐδὲν γὰρ μᾶλλον ὁ τὶς ἄνθρωπος οὐσία ἢ ὁ τὶς βοῦς.

Εἰκότως δὲ μετὰ τὰς πρώτας οὐσίας μόνα τῶν ἄλλων
30 τὰ εἴδη καὶ τὰ γένη δεύτεραι οὐσίαι λέγονται· μόνα γὰρ δηλοῖ τὴν πρώτην οὐσίαν τῶν κατηγορουμένων· τὸν γὰρ τινὰ ἄνθρωπον ἐὰν ἀποδιδῷ τις τί ἐστιν, τὸ μὲν εἶδος ἢ τὸ γένος ἀποδιδοὺς οἰκείως ἀποδώσει, —καὶ γνωριμώτερον ποιήσει ἄνθρωπον ἢ ζῷον ἀποδιδούς·— τῶν δ' ἄλλων ὅ τι ἂν
35 ἀποδιδῷ τις, ἀλλοτρίως ἔσται ἀποδεδωκώς, οἷον λευκὸν ἢ τρέχει ἢ ὁτιοῦν τῶν τοιούτων ἀποδιδούς· ὥστε εἰκότως ταῦτα μόνα τῶν ἄλλων οὐσίαι λέγονται. ἔτι αἱ πρῶται οὐσίαι διὰ τὸ τοῖς ἄλλοις ἅπασιν ὑποκεῖσθαι κυριώτατα οὐσίαι
3a λέγονται· ὡς δέ γε αἱ πρῶται οὐσίαι πρὸς τὰ ἄλλα πάντα ἔχουσιν, οὕτω τὰ εἴδη καὶ τὰ γένη τῶν πρώτων οὐσιῶν πρὸς τὰ λοιπὰ πάντα ἔχει· κατὰ τούτων γὰρ πάντα τὰ λοιπὰ κατηγορεῖται· τὸν γὰρ τινὰ ἄνθρωπον ἐρεῖς γραμματικόν,
5 οὐκοῦν καὶ ἄνθρωπον καὶ ζῷον γραμματικὸν ἐρεῖς· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Κοινὸν δὲ κατὰ πάσης οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. ἡ μὲν γὰρ πρώτη οὐσία οὔτε καθ' ὑποκειμένου λέγεται οὔτε ἐν ὑποκειμένῳ ἐστίν. τῶν δὲ δευτέρων οὐσιῶν
10 φανερὸν μὲν καὶ οὕτως ὅτι οὐκ εἰσὶν ἐν ὑποκειμένῳ· ὁ γὰρ ἄνθρωπος καθ' ὑποκειμένου μὲν τοῦ τινὸς ἀνθρώπου λέγεται, ἐν ὑποκειμένῳ δὲ οὐκ ἔστιν, —οὐ γὰρ ἐν τῷ τινὶ ἀνθρώπῳ ὁ ἄνθρωπός ἐστιν·— ὡσαύτως δὲ καὶ τὸ ζῷον καθ' ὑποκειμένου

24 γὰρ+μᾶλλον n 31 τὰς πρώτας οὐσίας (Δ)ΛΡ 32 ἀποδῷ n: [T] 33 καὶ+γὰρ n 36–7 τῶν ἄλλων ταῦτα μόνα ΒΓ 37 ἔτι+δὲ n: °αφ: [ΔΛΡ] 38 ἅπασιν ὑποκεῖσθαι (ὑποκ. πᾶσ. n)+καὶ τὰ ἄλλα πάντα κατὰ τούτων κατηγορεῖσθαι P: °φ κυριώτατα ΡΓ(φ),²Β 3a2 γένη . . . εἴδη ΛΓ 8–9 ἐν ὑποκ. ἐστὶν . . . καθ' ὑποκ. λέγ. ΒΔ 10 οὐκ εἰσὶν] οὐθεμία ἐστὶν ΔΡ

'insan'ı belli bir insana göre açıklayan, 'at'ı belli bir ata göre açıklayandan hiç de daha yaklaşık bir açıklama vermiş olmayacaktır. Yine, ilk varlıklarda da biri ötekinden hiç de daha çok varlık olmaz: Nitekim belli bir insan belli bir öküzden hiç de daha çok varlık olmaz.

İlk varlıkların dışında kalan öteki nesnelerden yalnızca türlere ve cinslere ikincil varlıklar denmesi usa uygun, çünkü yüklenenler içinde yalnızca onlar ilk varlığı ortaya koyar. Biri belli bir insanı açıklayacak olsa türünü ya da cinsini vererek uygun açıklama vermiş olacaktır –'canlı' yerine 'insan' olduğunu söyleyerek de daha bilinir kılacaktır–; ama 'ak', 'koşuyor' ya da bu tür başka bir şey söylese daha uzak bir açıklama vermiş olacaktır. O halde ötekiler içinde yalnızca bunlara varlık denmesi uygun. Öte yandan ilk varlıklar öteki nesnelerin hepsi için taşıyıcı olmalarından ötürü asıl anlamdaki varlıklar diye belirtilir; ilk varlıkların öteki her nesne karşısındaki durumu ne ise, ilk varlıkların türleriyle cinslerinin bütün geri kalanlar karşısındaki durumu öyle olur: Geri kalan her nesne bunlara yüklenir: Belli bir insanın dilbilimci olduğunu söylersen, dilbilimcinin 'insan' ve 'canlı' olduğunu da söylemiş olursun. Öteki durumlarda da bu böyle.

Bir taşıyıcı içinde olmamak varlıkların hepsi için ortak bir nitelik. İlk varlık ne bir taşıyıcı için söylenir, ne de bir taşıyıcı içinde olur; ikincil varlıkların ise taşıyıcı içinde olmadıkları şu şekilde açık: 'İnsan' taşıyıcı olarak belli bir insan için söylenir ama, bir taşıyıcı içinde değildir –çünkü 'insan' belli bir insanın içinde değildir–, aynı biçimde 'canlı' da taşıyıcı olarak belli bir insan için söy-

μὲν λέγεται τοῦ τινὸς ἀνθρώπου, οὐκ ἔστι δὲ τὸ ζῷον ἐν τῷ τινὶ ἀνθρώπῳ. ἔτι δὲ τῶν ἐν ὑποκειμένῳ ὄντων τὸ μὲν ὄνομα οὐδὲν κωλύει κατηγορεῖσθαί ποτε τοῦ ὑποκειμένου, τὸν δὲ λόγον ἀδύνατον· τῶν δὲ δευτέρων οὐσιῶν κατηγορεῖται καὶ ὁ λόγος κατὰ τοῦ ὑποκειμένου καὶ τοὔνομα, -τὸν γὰρ τοῦ ἀνθρώπου λόγον κατὰ τοῦ τινὸς ἀνθρώπου κατηγορήσεις καὶ τὸν τοῦ ζῴου.- ὥστε οὐκ ἂν εἴη οὐσία τῶν ἐν ὑποκειμένῳ.—οὐκ ἴδιον δὲ οὐσίας τοῦτο, ἀλλὰ καὶ ἡ διαφορὰ τῶν μὴ ἐν ὑποκειμένῳ ἐστίν· τὸ γὰρ πεζὸν καὶ τὸ δίπουν καθ' ὑποκειμένου μὲν λέγεται τοῦ ἀνθρώπου, ἐν ὑποκειμένῳ δὲ οὐκ ἔστιν, -οὐ γὰρ ἐν τῷ ἀνθρώπῳ ἐστὶ τὸ δίπουν οὐδὲ τὸ πεζόν.- καὶ ὁ λόγος δὲ κατηγορεῖται ὁ τῆς διαφορᾶς καθ' οὗ ἂν λέγηται ἡ διαφορά· οἷον εἰ τὸ πεζὸν κατὰ ἀνθρώπου λέγεται, καὶ ὁ λόγος τοῦ πεζοῦ κατηγορηθήσεται τοῦ ἀνθρώπου, -πεζὸν γάρ ἐστιν ὁ ἄνθρωπος. —μὴ ταραττέτω δὲ ἡμᾶς τὰ μέρη τῶν οὐσιῶν ὡς ἐν ὑποκειμένοις ὄντα τοῖς ὅλοις, μή ποτε ἀναγκασθῶμεν οὐκ οὐσίας αὐτὰ φάσκειν εἶναι· οὐ γὰρ οὕτω τὰ ἐν ὑποκειμένῳ ἐλέγετο τὰ ὡς μέρη ὑπάρχοντα ἔν τινι.

Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ ταῖς διαφοραῖς τὸ πάντα συνωνύμως ἀπ' αὐτῶν λέγεσθαι· πᾶσαι γὰρ αἱ ἀπὸ τούτων κατηγορίαι ἤτοι κατὰ τῶν ἀτόμων κατηγοροῦνται ἢ κατὰ τῶν εἰδῶν. ἀπὸ μὲν γὰρ τῆς πρώτης οὐσίας οὐδεμία ἐστὶ κατηγορία, -κατ' οὐδενὸς γὰρ ὑποκειμένου λέγεται·- τῶν δὲ δευτέρων οὐσιῶν τὸ μὲν εἶδος κατὰ τοῦ ἀτόμου κατηγορεῖται, τὸ δὲ γένος καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου· ὡσαύτως δὲ καὶ αἱ διαφοραὶ καὶ κατὰ τῶν εἰδῶν καὶ κατὰ 3ᵇ

16 ποτὲ κατηγορεῖσθαι nΔ,ʔΛP 17 alt. δὲ+γε n: [T] 18 τοὔνομα ante prius καὶ pos., alt. καὶ om. n 20 ζῴου+ὡσαύτως B ἡ οὐσία B: [ΛPIΓ] 21 τοῦτο οὐσίας BϕᶜηˌʔPI: °adϕσσᶜ 23 μὲν om. n: °o 25 οὐδὲ] ἢ BΔ: om. P 26 λέγεται n: [T] 27 λόγος+ὁ B: [T] 38 τῶν ἀτόμων (Λ)I 39 prius καὶ om. n: [ΔPI] τῶν ἀτόμων . . τῶν εἰδῶν PIΓ 3ᵇ1 alt. καὶ om. B: [ΔP]

lenir ama, belli bir insanın içinde değildir. Öte yandan bir taşıyıcı içinde olanların adının kimi zaman taşıyıcıya yüklenmesine engel yoktur ama, tanımın taşıyıcıya yüklenmesi olanaksız olur; ikincil varlıklarda ise hem tanım hem de ad taşıyıcıya yüklenir –insanın tanımını belli bir insana, hayvanın tanımını da belli bir insana yükleyeceksin–. O halde varlık taşıyıcı içinde olanlardan olamaz –ancak bu yalnızca varlığın bir niteliği değil, ayırıcı özellikler de bir taşıyıcı içinde bulunmayanlardan: Yürüme, iki ayaklı olma taşıyıcı olarak 'insan' için söylenir ama, bir taşıyıcı içinde değildir –çünkü yürüme, iki ayaklı olma 'insan'ın içinde değil–. Ayırıcı özelliğin kendisi için söylendiği şeye ayırıcı özelliğin tanımı da yüklenir; sözgelişi yürüme insan için söylenirse, yürümenin tanımı da insana yüklenecektir –nitekim 'yürüyen insandır'–. Varlıkların parçalarının bütün olarak taşıyıcı içinde bulunanlar olarak bulunmalarına karşın, kimi kez onların varlık olmadıklarını onaylamak zorunda kalmamız bizi şaşırtmasın; çünkü taşıyıcı içinde olanların bir şeyde parça olarak bulunduklarını söylerken bunu kastetmiyorduk.

Bütün nesnelerin onlardan eşanlamlı olarak adlandırılmaları varlıklara ve ayırıcı özelliklere ait bir nitelik; yüklenenlerin hepsi ya bireylere ya da türlere yüklenir, çünkü hiçbir yükleme ilk varlıktan gelmez –çünkü hiçbir taşıyıcı için söylenmez–; ikincil varlıklardan tür, bireye, cins hem türe hem de bireye yüklenir. Aynı biçim-
3[b] de ayırıcı özellikler de hem türlere hem bireye yüklenir.

τῶν ἀτόμων κατηγοροῦνται. καὶ τὸν λόγον δὲ ἐπιδέχονται αἱ πρῶται οὐσίαι τὸν τῶν εἰδῶν καὶ τὸν τῶν γενῶν, καὶ τὸ εἶδος δὲ τὸν τοῦ γένους. -ὅσα γὰρ κατὰ τοῦ κατηγορουμένου λέγεται, καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται·- ὡσαύτως δὲ καὶ τὸν τῶν διαφορῶν λόγον ἐπιδέχεται τά τε εἴδη καὶ τὰ ἄτομα· συνώνυμα δέ γε ἦν ὧν καὶ τοὔνομα κοινὸν καὶ ὁ λόγος ὁ αὐτός. ὥστε πάντα τὰ ἀπὸ τῶν οὐσιῶν καὶ τῶν διαφορῶν συνωνύμως λέγεται.

Πᾶσα δὲ οὐσία δοκεῖ τόδε τι σημαίνειν. ἐπὶ μὲν οὖν τῶν πρώτων οὐσιῶν ἀναμφισβήτητον καὶ ἀληθές ἐστιν ὅτι τόδε τι σημαίνει· ἄτομον γὰρ καὶ ἓν ἀριθμῷ τὸ δηλούμενόν ἐστιν. ἐπὶ δὲ τῶν δευτέρων οὐσιῶν φαίνεται μὲν ὁμοίως τῷ σχήματι τῆς προσηγορίας τόδε τι σημαίνειν, ὅταν εἴπῃ ἄνθρωπον ἢ ζῷον· οὐ μὴν ἀληθές γε, ἀλλὰ μᾶλλον ποιόν τι σημαίνει, -οὐ γὰρ ἔν ἐστι τὸ ὑποκείμενον ὥσπερ ἡ πρώτη οὐσία, ἀλλὰ κατὰ πολλῶν ὁ ἄνθρωπος λέγεται καὶ τὸ ζῷον·- οὐχ ἁπλῶς δὲ ποιόν τι σημαίνει, ὥσπερ τὸ λευκόν· οὐδὲν γὰρ ἄλλο σημαίνει τὸ λευκὸν ἀλλ' ἢ ποιόν, τὸ δὲ εἶδος καὶ τὸ γένος περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει, -ποιὰν γάρ τινα οὐσίαν σημαίνει. ἐπὶ πλεῖον δὲ τῷ γένει ἢ τῷ εἴδει τὸν ἀφορισμὸν ποιεῖται· ὁ γὰρ ζῷον εἰπὼν ἐπὶ πλεῖον περιλαμβάνει ἢ ὁ τὸν ἄνθρωπον.

Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ τὸ μηδὲν αὐταῖς ἐναντίον εἶναι. τῇ γὰρ πρώτῃ οὐσίᾳ τί ἂν εἴη ἐναντίον; οἷον τῷ τινὶ ἀνθρώπῳ οὐδέν ἐστιν ἐναντίον, οὐδέ γε τῷ ἀνθρώπῳ ἢ τῷ ζῴῳ οὐδέν ἐστιν ἐναντίον. οὐκ ἴδιον δὲ τῆς οὐσίας τοῦτο, ἀλλὰ καὶ ἐπ' ἄλλων πολλῶν οἷον ἐπὶ τοῦ ποσοῦ· τῷ γὰρ διπήχει οὐδέν ἐστιν ἐναντίον, οὐδὲ τοῖς δέκα, οὐδὲ τῶν τοιούτων οὐδενί, εἰ μή τις

3 γενῶν . . . εἰδῶν nΔ ς λέγεται + τοσαῦτα n, (vel ταὐτὰ) Λ 8 alt. καὶ + τὰ ἀπὸ B(Δ) 13 τῶν δὲ (om. ἐπὶ) BΔΓ: [P] 18 τι om. nΓ: °ο: [Λ] 20 γένος . . . εἶδος Λ 21 ἢ] καὶ Γ,ʔn: °φ 24 αὐταῖς post ἐναντίον pos. nφη(σ): post εἶναι (25) ο: °α: [P] 26 prius ἀνθρώπῳ + ἢ τῷ τινὶ ζῴῳ B: °ο οὐδέν + γάρ nBPΓ: °ο: [Δ] ἢ] οὐδὲ n,ʔΛ: °αο: [Γ] 27 ἀλλὰ + γὰρ BΓ

Türlerin ve cinslerin tanımı ilk varlıklara, cinsin tanımı ise türe uyar –çünkü yüklenen için söylenen her şey taşıyıcı için söylenecektir–. Aynı biçimde ayırıcı özelliklerin tanımı da türlere ve bireylere uyar: Adları ortak, tanımları aynı olanlara eşanlamlılar demiştik; demek ki her nesne varlıklar ve ayırıcı özelliklerle eşanlamlı olarak adlandırılır.

Her varlığın doğrudan belli bir nesne belirttiği görünüyor. İlk varlıkların doğrudan belli bir nesne belirttikleri tartışma götürmeyecek biçimde doğru; çünkü bölünmez, sayıca tek olan bir şey olarak açıklanmıştı. İkincil varlıklar adlarının biçimi nedeniyle –'insan' ya da 'canlı' dendiğinde– doğrudan belli bir nesne belirtiyormuş gibi gelir ama, bu doğru değil, daha çok bir nitelik belirtirler –çünkü ilk varlıktaki gibi taşıyıcı tek değil: 'insan' ya da 'canlı' çok şey için söylenir–. Öte yandan 'ak' gibi saltık anlamda bir nitelik de belirtmezler; çünkü ak, nitelikten başka hiçbir şey belirtmez, oysa türle cins, bir varlık konusundaki niteliği belirtir –belli bir varlığın neliğini gösterir–. Cinsle yapılan belirlemenin kaplamı türle yapılanınkinden daha geniş, çünkü 'canlı' diyen, 'insan' diyenden daha geniş bir kaplamı belirtmiş olur.

Kendilerine karşıt hiçbir şeyin olmaması varlıkların bir niteliği. İlk varlığa karşıt ne olabilir? Sözgelişi belli bir insana karşıt olan hiçbir şey yok: 'insan'a ya da 'hayvan'a karşıt bir şey de yok. Ama bu varlığın kendisine özgü bir niteliği değil, nicelik için ve başka pek çokları için de bu böyle: Nitekim iki dirseğe karşıt bir şey yok, 'on' sayısına, buna benzer başka şeylere de karşıt bir şey yok. Ancak çoğun aza ya da büyüğün küçüğe karşıt olduğu

τὸ πολὺ τῷ ὀλίγῳ φαίη ἐναντίον εἶναι ἢ τὸ μέγα τῷ μικρῷ· τῶν δὲ ἀφωρισμένων ποσῶν οὐδὲν οὐδενὶ ἐναντίον ἐστίν.

Δοκεῖ δὲ ἡ οὐσία οὐκ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· λέγω δὲ οὐχ ὅτι οὐσία οὐσίας οὐκ ἔστι μᾶλλον οὐσία, —τοῦτο μὲν γὰρ εἴρηται ὅτι ἔστιν,— ἀλλ' ὅτι ἑκάστη οὐσία τοῦθ' ὅπερ ἐστὶν οὐ λέγεται μᾶλλον καὶ ἧττον· οἷον εἰ ἔστιν αὕτη ἡ οὐσία ἄνθρωπος, οὐκ ἔσται μᾶλλον καὶ ἧττον ἄνθρωπος, οὔτε αὐτὸς αὑτοῦ οὔτε ἕτερος ἑτέρου. οὐ γάρ ἐστιν ἕτερος ἑτέρου μᾶλλον ἄνθρωπος, ὥσπερ τὸ λευκόν ἐστιν ἕτερον ἑτέρου μᾶλλον λευκόν, καὶ καλὸν ἕτερον ἑτέρου μᾶλλον· καὶ αὐτὸ δὲ αὑτοῦ μᾶλλον καὶ ἧττον λέγεται, οἷον τὸ σῶμα λευκὸν ὂν μᾶλλον λευκὸν λέγεται νῦν ἢ πρότερον, καὶ θερμὸν ὂν μᾶλλον θερμὸν καὶ ἧττον λέγεται· ἡ δέ γε οὐσία οὐδὲν λέγεται, —οὐδὲ γὰρ ἄνθρωπος μᾶλλον νῦν ἄνθρωπος ἢ πρότερον λέγεται, οὐδὲ τῶν ἄλλων οὐδέν, ὅσα ἐστὶν οὐσία·— ὥστε οὐκ ἂν ἐπιδέχοιτο ἡ οὐσία τὸ μᾶλλον καὶ ἧττον.

Μάλιστα δὲ ἴδιον τῆς οὐσίας δοκεῖ εἶναι τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων εἶναι δεκτικόν· οἷον ἐπὶ μὲν τῶν ἄλλων οὐδενὸς ἂν ἔχοι τις προενεγκεῖν [ὅσα μή ἐστιν οὐσία], ὃ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων δεκτικόν ἐστιν· οἷον τὸ χρῶμα, ὅ ἐστιν ἓν καὶ ταὐτὸν ἀριθμῷ, οὐκ ἔσται λευκὸν καὶ μέλαν, οὐδὲ ἡ αὐτὴ πρᾶξις καὶ μία τῷ ἀριθμῷ

32 ποσῶν om. ΔΛσ 33 οὐκ: μὴ Ba(ϕ): °οηο: [T] 34 μᾶλλον+ καὶ ἧττον Λ: +οὐσία καὶ ἧττον Bn: °o^{d} 36 καὶ] ἢ PΓo^{c} 37 ὁ ἄνθρωπος n: [ΛPIΓ] ἔσται] ἔστι n(Λ),?P 4a1 ἐστιν post μᾶλλον pos. B 1–2 καὶ . . . prius μᾶλλον om. Δ 2 prius μᾶλλον+ καλόν nΛ: +ἢ ἧττον P: +καλὸν καὶ ἧττον λέγεται B: [Δ] 4 λευκὸν+ εἶναι BΔ 5 θερμὸν post ἧττον pos. n,?Γ: om. Λ οὐδὲν+μᾶλλον n(Δ): +μᾶλλον καὶ ἧττον B(Δ)PI 6 λέγεται+καὶ ἧττον n: +ἄνθρωπος PI γὰρ+ὁ n: [ΛPIΓ] νῦν μᾶλλον n 7 οὐδέν+ἔσται n: +λέγεται I 9 τὸ ἧττον Δ: [ΛPIΓ] 12 οὐδενὸς] οὐκ BΛ τις+τὸ τοιοῦτο P 12–13 εἰσιν οὐσίαι BΔΛ 13 δεκτικόν τῶν ἐναντίων n,?Γ: [I] 14 τῷ ἀριθμῷ B: [ΛPIΓ] ἔσται] ἔστι Δ: λέγεται n

söylenebilir. Demek ki belirlenmiş niceliklerden hiçbiri birbirine karşıt değil.

Varlığın daha çokluk ya da daha azlığı kabul etmediği görünüyor. Varlığın varlıktan daha çok varlık olmadığını söylemiyorum –nitekim bunun böyle olduğunu söylemiştik–, her bir varlığın olduğundan daha çok ya da daha az varlık olmadığını belirtiyorum. Sözgelişi bu varlık 'insan' ise, daha çok insan ya da daha az insan olmayacaktır; ne kendi kendinden ne de başkası bir başkasından; çünkü aklık konusunda, birinin ötekinden daha ak; güzellik konusunda birinin ötekinden daha güzel olması gibi, biri ötekinden daha çok 'insan' olmaz. 'Ak'ın kendi kendinden daha çok ya da daha az ak olduğu da söylenir, sözgelişi ak olan cismin şimdi öncekinden daha ak olduğu, sıcak olan cismin daha az sıcak ya da daha çok sıcak olduğu söylenir; oysa varlık hiç söylenmez –ne insanın şimdi öncekinden daha çok insan olduğu ne varlık olan başka bir şeyin öyle olduğu söylenir–. O halde varlık daha azlığı ya da daha çokluğu kabul etmez.

Varlığın çok belirgin bir özelliğinin de, sayıca bir ve aynı olmasına karşın, karşıt nesneleri kabul edebilir olması gibi görünüyor. Bütün öteki nesnelerde varlık olmayıp da, sayıca tek olmasına karşın, karşıtları kabul edebilen hiçbir şey gösterilemez; sözgelişi sayıca bir ve aynı olan renk hem ak hem kara olamayacaktır, sayıca bir ve aynı olan eylem de hem erdemli hem erdemsiz ol-

οὐκ ἔσται φαύλη καὶ σπουδαία, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὅσα μή ἐστιν οὐσία. ἡ δέ γε οὐσία ἓν καὶ ταὐτὸν ἀριθμῷ ὂν δεκτικὸν τῶν ἐναντίων ἐστίν· οἷον ὁ τὶς ἄνθρωπος, εἷς καὶ ὁ αὐτὸς ὤν, ὁτὲ μὲν λευκὸς ὁτὲ δὲ μέ-
20 λας γίγνεται, καὶ θερμὸς καὶ ψυχρός, καὶ φαῦλος καὶ σπουδαῖος. ἐπὶ δὲ τῶν ἄλλων οὐδενὸς φαίνεται τὸ τοιοῦτον, εἰ μή τις ἐνίσταιτο τὸν λόγον καὶ τὴν δόξαν φάσκων τῶν τοιούτων εἶναι· ὁ γὰρ αὐτὸς λόγος ἀληθής τε καὶ ψευδὴς εἶναι δοκεῖ, οἷον εἰ ἀληθὴς εἴη ὁ λόγος τὸ κα-
25 θῆσθαί τινα, ἀναστάντος αὐτοῦ ὁ αὐτὸς οὗτος ψευδὴς ἔσται· ὡσαύτως δὲ καὶ ἐπὶ τῆς δόξης· εἰ γάρ τις ἀληθῶς δοξάζοι τὸ καθῆσθαί τινα, ἀναστάντος αὐτοῦ ψευδῶς δοξάσει τὴν αὐτὴν ἔχων περὶ αὐτοῦ δόξαν. εἰ δέ τις καὶ τοῦτο παραδέχοιτο, ἀλλὰ τῷ γε τρόπῳ διαφέρει· τὰ μὲν γὰρ ἐπὶ
30 τῶν οὐσιῶν αὐτὰ μεταβάλλοντα δεκτικὰ τῶν ἐναντίων ἐστίν, – ψυχρὸν γὰρ ἐκ θερμοῦ γενόμενον μετέβαλεν (ἠλλοίωται γάρ), καὶ μέλαν ἐκ λευκοῦ καὶ σπουδαῖον ἐκ φαύλου, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἕκαστον αὐτὸ μεταβολὴν δεχόμενον τῶν ἐναντίων δεκτικόν ἐστιν· – ὁ δὲ λόγος καὶ ἡ
35 δόξα αὐτὰ μὲν ἀκίνητα πάντῃ πάντως διαμένει, τοῦ δὲ πράγματος κινουμένου τὸ ἐναντίον περὶ αὐτὰ γίγνεται· ὁ μὲν
4b γὰρ λόγος διαμένει ὁ αὐτὸς τὸ καθῆσθαί τινα, τοῦ δὲ πράγματος κινηθέντος ὁτὲ μὲν ἀληθὴς ὁτὲ δὲ ψευδὴς γίγνεται· ὡσαύτως δὲ καὶ ἐπὶ τῆς δόξης. ὥστε τῷ τρόπῳ γε ἴδιον ἂν εἴη τῆς οὐσίας τὸ κατὰ τὴν αὐτῆς μεταβολὴν δεκτικὴν τῶν ἐναντίων εἶναι, –εἰ δή τις καὶ ταῦτα παραδέχοιτο, τὴν

16 ἔστι n 17 εἰσιν οὐσίαι BΔΛΙΓ: [P] 20 θερμὸς+γε n: [T] 22 ἐνίσταται o(σ): •ϕ: [T] 23 τοιούτων] ἐναντίων nPo: •ϕ εἶναι+ δεκτικά nBPo: +ὡς (?) ἐναντίων δεκτικά (Δ): •ϕ τε om. B: •ϕ: [ΔΡΓ] 24 δοκεῖ εἶναι noϕ,?I: [P] 25 οὗτος+λόγος B(ϕ): om. n 27 δοξάζοι] -ει n: [Δ] ψευδῶς+ὁ αὐτὸς οὗτος n δοξάσει] -ζει nΛΡΙΓ 31 μετέβαλλεν B(ϕc): [T] 31–2 ἠλλοίωται γάρ om. Λ: •ϕc 33 αὐτῶν B(ϕc): om. ΛΡΓ: [I] 34 τοῦ ἐναντίου nϕc 4b1 γίγνεται] λέγεται nB: γίγνεται λέγεται P 4 δέ Δ,?ΛΡ: om. Γaϕ καὶ om. n: ante τις pos. aϕ 4–5 τὸν λόγον καὶ τὴν δόξαν BΓaϕ

mayacaktır; varlık olmayan öteki şeylerde de bu böyle. Oysa varlık sayıca bir ve aynı olmasına karşın, kesinlikle karşıt şeyleri kabul eder: Örneğin bir ve aynı olan belli bir insan kimi zaman ak kimi zaman kara, hem sıcak hem soğuk, hem erdemli hem erdemsiz oluyor. Ötekilerdeyse hiçbiri böyle görünmüyor. Ancak sözle sanının böyle olduğu söylenebilir; çünkü söz hem doğru hem yanlışmış gibi görünüyor: Sözgelişi birinin oturmakta olduğu sözü doğruysa, o ayağa kalkınca aynı söz yanlış olacak. Sanı konusunda da bu böyle; biri doğru olarak birinin oturduğu sanısındaysa, o ayağa kalkınca, aynı sanıda olduğunda kanısı yanlış olacaktır.

Bu kabul edilse bile biçimce ayrım var: Varlıklar kendileri değişerek karşıt şeyleri kabul eder –nitekim sıcakken soğuk olmuştur (çünkü başkalaşmıştır), karayken ak, erdemliyken erdemsiz; öteki varlıklarda da bu böyledir, kendileri değişerek karşıtları kabul ederler–; oysa sözle sanı kendileri değişmez olduğundan bütünüyle kalıcıdır, karşıtlık nesne hareket ettiğinde ortaya çıkar: Birinin oturduğu sözü kalıcıdır, nesne hareket ettiğinde bu
4b aynı söz kimi kez doğru kimi kez yanlış olur. Sanı için de bu böyle. O halde kendi değişikliğine göre karşıtları kabul etmek varlığın biçimce bir niteliği olsa gerek –demek ki bunların, sanı ile sözün, karşıtları kabul ettiğini biri

δόξαν καὶ τὸν λόγον δεκτικὰ τῶν ἐναντίων εἶναι. οὐκ ἔστι δὲ ἀληθὲς τοῦτο· ὁ γὰρ λόγος καὶ ἡ δόξα οὐ τῷ αὐτὰ δέχεσθαί τι τῶν ἐναντίων εἶναι δεκτικὰ λέγεται, ἀλλὰ τῷ περὶ ἕτερόν τι τὸ πάθος γεγενῆσθαι· -τῷ γὰρ τὸ πρᾶγμα εἶναι ἢ μὴ εἶναι, τούτῳ καὶ ὁ λόγος ἀληθὴς ἢ ψευδὴς εἶναι λέγεται, οὐ τῷ αὐτὸν δεκτικὸν εἶναι τῶν ἐναντίων· ἁπλῶς γὰρ οὐδὲν ὑπ' οὐδενὸς οὔτε ὁ λόγος κινεῖται οὔτε ἡ δόξα, ὥστε οὐκ ἂν εἴη δεκτικὰ τῶν ἐναντίων μηδενὸς ἐν αὐτοῖς γιγνομένου· ἡ δέ γε οὐσία τῷ αὐτὴν τὰ ἐναντία δέχεσθαι, τούτῳ δεκτικὴ τῶν ἐναντίων λέγεται· νόσον γὰρ καὶ ὑγίειαν δέχεται, καὶ λευκότητα καὶ μελανίαν, καὶ ἕκαστον τῶν τοιούτων αὐτὴ δεχομένη τῶν ἐναντίων εἶναι δεκτικὴ λέγεται. ὥστε ἴδιον ἂν οὐσίας εἴη τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν δεκτικὸν εἶναι τῶν ἐναντίων. περὶ μὲν οὖν οὐσίας τοσαῦτα εἰρήσθω.

6 Τοῦ δὲ ποσοῦ τὸ μέν ἐστι διωρισμένον, τὸ δὲ συνεχές· καὶ τὸ μὲν ἐκ θέσιν ἐχόντων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων συνέστηκε, τὸ δὲ οὐκ ἐξ ἐχόντων θέσιν. ἔστι δὲ διωρισμένον μὲν οἷον ἀριθμὸς καὶ λόγος, συνεχὲς δὲ γραμμή, ἐπιφάνεια, σῶμα, ἔτι δὲ παρὰ ταῦτα χρόνος καὶ τόπος.—τῶν μὲν γὰρ τοῦ ἀριθμοῦ μορίων οὐδεὶς ἐστι κοινὸς ὅρος, πρὸς ὃν συνάπτει τὰ μόρια αὐτοῦ· οἷον τὰ πέντε εἰ ἔστι τῶν δέκα μόριον, πρὸς οὐδένα κοινὸν ὅρον συνάπτει τὰ πέντε καὶ τὰ πέντε, ἀλλὰ διώρισται· καὶ τὰ τρία γε καὶ

5 ante δεκτικὰ add. φάσκειν n, φάσκων (Δ)(Λ)(ϕ): °a 6 δεδέχθαι n: [T] 9 ἢ ψευδὴς om. n 10 τοῦ ἐναντίου nΛP 11 οὐδὲν (οὐδὲ I) post λόγος pos. nI: om. ΔΛ ὑπ' οὐδενὸς om. (Λ)PΓ οὐδὲ ἡ δόξα n: [T] 12 γιγνομένου+πάθους BΛ 13 γε om. n: [ΔΛPΓ] αὐτὴ B: [T] 14 ἐναντίων+εἶναι BPI 16 αὖτη n: [T] 17–18 ante (nΔϕο) vel post (B(Λ)I) δεκτικὸν εἶναι τῶν ἐναντίων (τῶν ἐν. εἶν. δεκτ. ϕοσ) add. κατὰ τὴν αὐτοῦ (ἑαυτοῦ B, αὐτῆς ϕ) μεταβολήν nBΔ(Λ)Iϕο 18 περὶ μὲν οὖν] καὶ περὶ μὲν nΔΛ 21 et 22 τὸ] τὰ Δα(ϕ^{c}): °ποσ^{c} 22 ἐξ οὐκ BΛ(ϕ^{c}): °ποσσ^{c}: [P] 23 οἷον om. no δὲ+οἷον Λ: °o 27 οὐδένα+γὰρ B: +δὲ (Δ): °οη 28 ἀλλὰ+ἀεὶ n

ileri sürecek olsa bile bu doğru olmayacak; söz ve sanı kendileri karşıtları kabul ettiklerinden ötürü değil, bir başka nesne bir şeyden etkilendiğinden ötürü karşıtları kabul eder denebilir; nitekim nesnenin öyle olması ya da olmamasına göre, bundan ötürü sözün doğru ya da yanlış olduğu söylenir, yoksa kendisi karşıtları kabul ettiği için değil; çünkü ne söz ne de sanı, hiçbiri hiçbir şey tarafından hareket ettirilmez. Kendilerinde hiçbir şey meydana gelmediğine göre karşıtları kabul edemezler– oysa varlık kendisinin karşıtları kabul etmesinden ötürü, bu nedenle karşıtları kabul edebilir diye nitelenir, çünkü hastalığı-sağlığı, aklığı-karalığı, bu tür şeylerden her birini kendisi kabul ettiği için karşıtları kabul ettiği söylenmektedir. Demek ki sayıca bir ve aynı olmasına karşın karşıtları kabul etmek varlığa özgü bir nitelik. Varlıklar konusunda bunları söylemiş olduk.

Kimi nicelik süreksiz kimi de sürekli; kimi kendi içinde birbirlerine göre bir durumu olan parçalardan oluşmuş kimiyse bir durumu olmayan parçalardan. Süreksiz olanlar, sözgelişi sayı, söz; sürekliler ise, çizgi, düzlem, cisim; bunlardan başka zaman, yer. –Sayının parçalarının birleştiği hiçbir ortak sınır yok: Sözgelişi 'beş' 'on'un parçasıysa, 'beş' ile 'beş' hiçbir ortak sınırda birleşmez, süreksizdir; 'üç' ile 'yedi' de hiçbir or-

τὰ ἑπτὰ πρὸς οὐδένα κοινὸν ὅρον συνάπτει· οὐδ' ὅλως ἂν
30 ἔχοις ἐπ' ἀριθμοῦ λαβεῖν κοινὸν ὅρον τῶν μορίων, ἀλλ'
ἀεὶ διώρισται· ὥστε ὁ μὲν ἀριθμὸς τῶν διωρισμένων ἐστίν.
ὡσαύτως δὲ καὶ ὁ λόγος τῶν διωρισμένων ἐστίν· (ὅτι μὲν
γὰρ ποσόν ἐστιν ὁ λόγος φανερόν· καταμετρεῖται γὰρ συλλαβῇ
μακρᾷ καὶ βραχείᾳ· λέγω δὲ αὐτὸν τὸν μετὰ φωνῆς λό-
35 γον γιγνόμενον)· πρὸς οὐδένα γὰρ κοινὸν ὅρον αὐτοῦ τὰ
μόρια συνάπτει· οὐ γὰρ ἔστι κοινὸς ὅρος πρὸς ὃν αἱ συλλαβαὶ
συνάπτουσιν, ἀλλ' ἑκάστη διώρισται αὐτὴ καθ' αὑτήν.
5a —ἡ δὲ γραμμὴ συνεχές ἐστιν· ἔστι γὰρ λαβεῖν κοινὸν ὅρον
πρὸς ὃν τὰ μόρια αὐτῆς συνάπτει, στιγμήν· καὶ τῆς ἐπι-
φανείας γραμμήν, –τὰ γὰρ τοῦ ἐπιπέδου μόρια πρός τινα
κοινὸν ὅρον συνάπτει.– ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ σώματος
5 ἔχοις ἂν λαβεῖν κοινὸν ὅρον, γραμμὴν ἢ ἐπιφάνειαν, πρὸς
ἣν τὰ τοῦ σώματος μόρια συνάπτει. ἔστι δὲ καὶ ὁ χρόνος
καὶ ὁ τόπος τῶν τοιούτων· ὁ γὰρ νῦν χρόνος συνάπτει πρός
τε τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα. πάλιν ὁ τόπος τῶν
συνεχῶν ἐστιν· τόπον γάρ τινα τὰ τοῦ σώματος μόρια κατ-
10 ἔχει, ἃ πρός τινα κοινὸν ὅρον συνάπτει· οὐκοῦν καὶ τὰ τοῦ
τόπου μόρια, ἃ κατέχει ἕκαστον τῶν τοῦ σώματος μορίων,
πρὸς τὸν αὐτὸν ὅρον συνάπτει πρὸς ὃν καὶ τὰ τοῦ σώμα-
τος μόρια· ὥστε συνεχὲς ἂν εἴη καὶ ὁ τόπος· πρὸς γὰρ
ἕνα κοινὸν ὅρον αὐτοῦ τὰ μόρια συνάπτει.
15 Ἔτι τὰ μὲν ἐκ θέσιν ἐχόντων πρὸς ἄλληλα τῶν ἐν
αὐτοῖς μορίων συνέστηκεν, τὰ δὲ οὐκ ἐξ ἐχόντων θέσιν·
οἷον τὰ μὲν τῆς γραμμῆς μόρια θέσιν ἔχει πρὸς ἄλληλα, –
ἕκαστον γὰρ αὐτῶν κεῖταί που, καὶ ἔχοις ἂν διαλαβεῖν καὶ
ἀποδοῦναι οὗ ἕκαστον κεῖται ἐν τῷ ἐπιπέδῳ καὶ πρὸς

29 οὔτε n: [T] 30 κοινὸν ὅρον λαβεῖν B: [T] 31 ἀεὶ om. P
34 βραχείᾳ καὶ μακρᾷ BΔPIΦᶜΘᶜ 35–6 τὰ μόρια αὐτοῦ nΛ,?IΓ 5a1
συνεχής BΛ(a)Φ: [ΔPIΓ] ἐστιν om. IΓ(Φ): °a: [ΔΛP] 6 ὃν
Φη,?ΔPIΓ: ἃ B 13 συνεχὴς B: [ΔPIΓ] 15 ἔτι+δὲ BI: °σοησ:
[J.1P] 17 ἔχοις B: °o: [T]

tak sınırda birleşmez; genel olarak sayı konusunda parçaların ortak bir sınırını da düşünemezsin, hep süreksizdir. O halde sayı, süreksiz niceliklerden. Aynı biçimde söz de süreksiz olanlardan (sözün bir nicelik olduğu açık, çünkü uzun, kısa hece ile ölçülür: sesin katılmasıyla meydana gelen sözü kastediyorum), çünkü parçaları hiçbir ortak sınırda birleşmez. Hecelerin birleştiği ortak bir sınır yoktur, her biri kendisi başlıbaşına süreksizdir. –Çizgi ise sürekli, parçalarının birleştiği ortak sınır alınabilir, bu da noktadır; düzleminki ise çizgidir (çünkü düzlemin parçaları da ortak bir sınırda birleşir)–. Cisimde de böyle, cismin parçalarının çizgi ya da düzlem olarak birleştiği bir sınır saptayabilirsin. Zaman ve yer de öyle, çünkü şimdiki zaman hem geçmiş hem de gelecek zamanla birleşir. Yer de süreklilerden, nitekim belli ortak bir sınırda birleşen cismin parçaları belli bir yer kaplar, o halde cismin parçalarının her birini kaplayan yerin parçaları da cismin parçalarının birleştiği aynı sınırda birleşir. Öyleyse yer de sürekli, parçaları tek bir ortak sınırda birleşiyor.

Öte yandan kimi nicelikler kendi içlerinde birbirlerine göre bir durumu olan parçalardan oluşmuştur, kimi ise bir durumu olmayan. Sözgelişi çizginin parçalarının birbirine göre bir durumu var –çünkü parçalarının her biri bir yerde durur, bunların her birinin düzlem içindeki

ποῖον μόριον τῶν λοιπῶν συνάπτει· ὡσαύτως δὲ καὶ τὰ τοῦ ἐπιπέδου μόρια θέσιν ἔχει τινά, –ὁμοίως γὰρ ἂν ἀποδοθείη ἕκαστον οὗ κεῖται, καὶ ποῖα συνάπτει πρὸς ἄλληλα.– καὶ τὰ τοῦ στερεοῦ δὲ ὡσαύτως καὶ τὰ τοῦ τόπου. ἐπὶ δέ γε τοῦ ἀριθμοῦ οὐκ ἂν ἔχοι τις ἐπιβλέψαι ὡς τὰ μόρια θέσιν τινὰ ἔχει πρὸς ἄλληλα ἢ κεῖταί που, ἢ ποῖά γε πρὸς ἄλληλα συνάπτει τῶν μορίων· οὐδὲ τὰ τοῦ χρόνου· ὑπομένει γὰρ οὐδὲν τῶν τοῦ χρόνου μορίων, ὃ δὲ μή ἐστιν ὑπομένον, πῶς ἂν τοῦτο θέσιν τινὰ ἔχοι; ἀλλὰ μᾶλλον τάξιν τινὰ εἴποις ἂν ἔχειν τῷ τὸ μὲν πρότερον εἶναι τοῦ χρόνου τὸ δ' ὕστερον. καὶ ἐπὶ τοῦ ἀριθμοῦ δὲ ὡσαύτως, τῷ πρότερον ἀριθμεῖσθαι τὸ ἓν τῶν δύο καὶ τὰ δύο τῶν τριῶν· καὶ οὕτω τάξιν ἄν τινα ἔχοι, θέσιν δὲ οὐ πάνυ λάβοις ἄν. καὶ ὁ λόγος δὲ ὡσαύτως· οὐδὲν γὰρ ὑπομένει τῶν μορίων αὐτοῦ, ἀλλ' εἴρηταί τε καὶ οὐκ ἔστιν ἔτι τοῦτο λαβεῖν, ὥστε οὐκ ἂν εἴη θέσις τῶν μορίων αὐτοῦ, εἴγε μηδὲν ὑπομένει. –τὰ μὲν οὖν ἐκ θέσιν ἐχόντων τῶν μορίων συνέστηκε, τὰ δὲ οὐκ ἐξ ἐχόντων θέσιν.

Κυρίως δὲ ποσὰ ταῦτα μόνα λέγεται τὰ εἰρημένα, τὰ δὲ ἄλλα πάντα κατὰ συμβεβηκός· εἰς ταῦτα γὰρ βλέποντες καὶ τἆλλα ποσὰ λέγομεν, οἷον πολὺ τὸ λευκὸν λέγεται τῷ τὴν ἐπιφάνειαν πολλὴν εἶναι, καὶ ἡ πρᾶξις μακρὰ τῷ γε τὸν χρόνον πολὺν εἶναι, καὶ ἡ κίνησις πολλή· οὐ γὰρ καθ' αὑτὸ ἕκαστον τούτων ποσὸν λέγεται· οἷον ἐὰν ἀποδιδῷ τις πόση τις ἡ πρᾶξίς ἐστι, τῷ χρόνῳ ὁριεῖ ἐνιαυσίαν ἢ οὕτω πως ἀποδιδούς, καὶ τὸ λευκὸν ποσόν τι ἀποδιδοὺς τῇ ἐπιφανείᾳ ὁριεῖ, –ὅση γὰρ ἂν ἡ ἐπιφάνεια ᾖ, τοσοῦτον καὶ

24 ἐπιδεῖξαι B,?Δ: [P] μόρια + αὐτοῦ BΔPI 25–6 ποῖά γε πρὸς ἄλληλα] ?τί πρὸς τί ΔΛ: °a 28 ἔχοι + τῶν μορίων n: °?ϖ^{c} 30 ὡσαύτως] ὁμοίως a: om. ΛΓ 31 τὸ ἓν ante πρότερον pos. BΔ: [P] 32 τινὰ ἂν B: °η: [T] 34 οὐκέτι ἐστὶ nΔ 36 συνέστηκε τῶν μορίων n 38 ταῦτα ποσὰ μόνα n: ποσὰ μόνα ταῦτα ΔΓa,?Γ: °ϕ^{d}: [P] 5^{b}1 ἀποβλέποντες B(ϕ)ϕ^{c}: [T] 5 ἐνιαυσιαίαν Bϕ: [T] 7 εἴη ἡ ἐπιφάνεια n: °ϕ: [T]

yerini belirleyebilirsin, geri kalan parçalardan hangisiyle birleştiğini gösterebilirsin. Aynı biçimde düzlemin parçalarının da bir durumu var–, nitekim her birinin nerede bulunduğu, hangilerinin birbiriyle birleştiği açıklanabilir. Yüzeyin, yerin parçaları için de bu böyle. Buna karşı sayının parçalarının birbirine göre nasıl bir durumu olduğu, nerede olduğu ya da hangi parçalarının birbiriyle birleştiği gösterilemez; zamanın parçalarının da, çünkü zamanın parçalarının hiçbiri kalıcı değil; kalıcı olmayan bir şeyin nasıl belli bir durumu olur? Ancak, zamanın daha önce ya da daha sonra olması açısından belli bir düzeni olduğunu söyleyebilirsin. Sayı konusunda da 'bir' 'iki'den, 'iki' 'üç'ten önce sayılması bakımından bu böyle: Bu şekilde belli bir düzeni var ama, hiçbir zaman belli bir durumu olduğunu kabul edemezsin. Söz de böyle; parçalarının hiçbiri kalıcı değil, söylenir ve bir daha ele geçmez; hiçbiri kalıcı olmadığından ötürü parçalarının bir durumu olamaz. O halde kimi nicelikler aralarında bir durumu olan, kimi ise bir durumu olmayan parçalardan oluşmakta.

Yalnızca bu sözünü ettiklerimize asıl anlamıyla nicelik denir, bütün ötekilere ise ilineksel olarak; nitekim berikilere ötekileri göz önünde tutarak nicelik deriz; sözgelişi yüzeyin büyüklüğüne göre çok ak olduğunu, zamanın uzun olmasına göre eylemin, hareketin uzun sürdüğünü söyleriz. Bunlara kendi başına nicelik denmez; sözgelişi biri eylemin niceliğinin ne olduğunu açıklayacak olsa, zaman açısından ("bir yıl" ya da benzeri bir başka biçimde) açıklayacak. Yine akın niceliğinin ne olduğunu açıklayacak olsa, yüzey açısından bir açıklama verecek. Çünkü yüzey ne kadarsa o kadar ak olduğunu belirtecek. O halde yalnızca sözünü ettiklerimize

τὸ λευκὸν φήσει εἶναι· – ὥστε μόνα κυρίως καὶ καθ' αὑτὰ ποσὰ λέγεται τὰ εἰρημένα, τῶν δὲ ἄλλων οὐδὲν αὐτὸ καθ' αὑτό, ἀλλ' εἰ ἄρα κατὰ συμβεβηκός.

Ἔτι τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον, (ἐπὶ μὲν γὰρ τῶν ἀφωρισμένων φανερὸν ὅτι οὐδέν ἐστιν ἐναντίον, οἷον τῷ διπήχει ἢ τριπήχει ἢ τῇ ἐπιφανείᾳ ἢ τῶν τοιούτων τινί, –οὐδὲν γάρ ἐστιν ἐναντίον), εἰ μὴ τὸ πολὺ τῷ ὀλίγῳ φαίη τις εἶναι ἐναντίον ἢ τὸ μέγα τῷ μικρῷ. τούτων δὲ οὐδέν ἐστι ποσὸν ἀλλὰ τῶν πρός τι· οὐδὲν γὰρ αὐτὸ καθ' αὑτὸ μέγα λέγεται ἢ μικρόν, ἀλλὰ πρὸς ἕτερον ἀναφέρεται, οἷον ὄρος μὲν μικρὸν λέγεται, κέγχρος δὲ μεγάλη τῷ τὴν μὲν τῶν ὁμογενῶν μεῖζον εἶναι, τὸ δὲ ἔλαττον τῶν ὁμογενῶν· οὐκοῦν πρὸς ἕτερον ἡ ἀναφορά, ἐπεὶ εἴγε καθ' αὑτὸ μικρὸν ἢ μέγα ἐλέγετο, οὐκ ἄν ποτε τὸ μὲν ὄρος μικρὸν ἐλέγετο, ἡ δὲ κέγχρος μεγάλη. πάλιν ἐν μὲν τῇ κώμῃ πολλοὺς φαμεν ἀνθρώπους εἶναι, ἐν Ἀθήναις δὲ ὀλίγους πολλαπλασίους αὐτῶν ὄντας, καὶ ἐν μὲν τῇ οἰκίᾳ πολλούς, ἐν δὲ τῷ θεάτρῳ ὀλίγους πολλῷ πλείους ὄντας.— ἔτι τὸ μὲν δίπηχυ καὶ τρίπηχυ καὶ ἕκαστον τῶν τοιούτων ποσὸν σημαίνει, τὸ δὲ μέγα ἢ μικρὸν οὐ σημαίνει ποσὸν ἀλλὰ μᾶλλον πρός τι· πρὸς γὰρ ἕτερον θεωρεῖται τὸ μέγα καὶ τὸ μικρόν· ὥστε φανερὸν ὅτι ταῦτα τῶν πρός τί ἐστιν.— ἔτι ἐάν τε τιθῇ τις αὐτὰ ποσὰ εἶναι ἐάν τε μὴ τιθῇ, οὐκ ἔστιν αὐτοῖς ἐναντίον οὐδέν· ὃ γὰρ μὴ ἔστιν αὐτὸ καθ' αὑτὸ λαβεῖν ἀλλὰ πρὸς ἕτερον ἀναφέροντα, πῶς ἂν εἴη τού-

8 τὸ om. n: $^{\circ}\phi$: [*T*] φήσεις BP*Γ*(φ): -εισν (φ): -σιν n καὶ om. B 8–9 ποσὰ καθ' αὑτὰ B*Γ*,¹*P* 10 εἰ] ἢ Bσ 12 οὐδέν+οὐδενί n: $^{\circ}$o 13 τῷ τριπήχει n: $^{\circ}$o: [*T*] 14 γάρ om. *Δ1*: $^{\circ}$o ἐστιν] αὐτῶν (+τι o) ἐστὶν n*Δ*o: ἐστιν αὐτῶν B,¹*P* 15 τις+ἂν n: $^{\circ}\phi$oσ^{c}: [*T*] 16 ἀλλὰ+μᾶλλον *Δ*(*Λ*)*P*ϕ^{c}: $^{\circ}$o 17 τῷ πρὸς ἕτερον ἀναφέρεσθαι BP,¹*Δ*: $^{\circ}\phi^{c}$o^{c} 19 μείζων B: [*T*] 21 μέγα ἢ (καὶ *P*) μικρὸν n*P* 23 φαμὲν πολλοὺς B*Δ*: [*P*] 30 τιθείη τις n: $^{\circ}$aφ: [*T*] ταῦτα B(a): $^{\circ}\phi$: [*T*] 31 αὐτὸ om. *Γ*o^{c}, Iambl. teste Simpl.: $^{\circ}\phi$: [*ΔΛP*] 32 ἀναφέρεται *ΛΓ*o$^{c}\phi$, Iambl. teste Simpl.: [*P*] εἴη] φαίη τις B: $^{\circ}\phi$

kendi başına, asıl anlamıyla nicelik denir; ötekilerden hiçbiri kendisi, tek başına nicelik değil ama, ilineksel olarak nicelik diye adlandırılır.

Niceliğe karşıt bir şey olmaz (belirlenmiş niceliklere karşıt bir şeyin olmayacağı açık, sözgelişi iki dirsek, üç dirsek ya da düzleme ya da bu tür bir şeye hiçbir şey karşıt olmaz); ama çoğun aza, büyüğün küçüğe karşıt olduğu söylenebilir. Oysa bunlardan hiçbiri nicelik değil, görelilerden; nitekim hiçbir nesneye kendi başına büyük ya da küçük denmez, bir şeyle karşılaştırıldığında söylenir. Sözgelişi darı tanesine aynı cinsten olanlar içinde daha küçük olduğundan ötürü küçük denir, demek ki bir başka nesneyle karşılaştırma vardır; kendi başına küçük ya da büyük denseydi, tepeye küçük, darıya büyük denmezdi. Yine, köyde çok insan olduğunu, Atina'da ise çok daha fazla olmasına karşın az insan bulunduğunu; evde çok insan olduğunu, tiyatroda çok daha fazla olmasına karşın az insan bulunduğunu söyleriz. –Öte yandan iki dirsek, üç dirsek ve bu tür şeylerden her biri bir nicelik belirtir, oysa küçük ya da büyük bir nicelik değil, daha çok bir görelik belirtir; çünkü küçük ya da büyük başka bir nesneye göre düşünülür. O halde bunların görelilerden olduğu açık–. Ayrıca ister onların nicelik olduğu, ister olmadığı düşünülsün, kendilerine karşıt bir şey olmaz: Kendisi, kendi başına alınmayıp da başka bir nesneyle karşılaştırılan bir nesneye nasıl karşıt

τῳ τι ἐναντίον;—ἔτι εἰ ἔσται τὸ μέγα καὶ τὸ μικρὸν ἐναντία, συμβήσεται τὸ αὐτὸ ἅμα τὰ ἐναντία ἐπιδέχεσθαι καὶ αὐτὰ αὑτοῖς εἶναι ἐναντία. συμβαίνει γὰρ ἅμα τὸ αὐτὸ μέγα τε καὶ μικρὸν εἶναι, -ἔστι γὰρ πρὸς μὲν τοῦτο μικρόν, πρὸς ἕτερον δὲ τὸ αὐτὸ τοῦτο μέγα·- ὥστε τὸ αὐτὸ καὶ μέγα καὶ μικρὸν κατὰ τὸν αὐτὸν χρόνον εἶναι συμβαίνει, ὥστε ἅμα τὰ ἐναντία ἐπιδέχεσθαι· ἀλλ' οὐδὲν δοκεῖ ἅμα τὰ ἐναντία ἐπιδέχεσθαι· οἷον ἐπὶ τῆς οὐσίας, δεκτικὴ μὲν τῶν ἐναντίων δοκεῖ εἶναι, ἀλλ' οὔτι γε ἅμα νοσεῖ καὶ ὑγιαίνει, οὐδὲ λευκὸν καὶ μέλαν ἐστὶν ἅμα, οὐδὲ τῶν ἄλλων οὐδὲν ἅμα τὰ ἐναντία ἐπιδέχεται. καὶ αὐτὰ δ' αὑτοῖς συμβαίνει ἐναντία εἶναι· εἰ γάρ ἐστι τὸ μέγα τῷ μικρῷ ἐναντίον, τὸ δ' αὐτό ἐστιν ἅμα μέγα καὶ μικρόν, αὐτὸ αὑτῷ ἂν εἴη ἐναντίον· ἀλλὰ τῶν ἀδυνάτων ἐστὶν αὐτὸ αὑτῷ εἶναι ἐναντίον.—οὐκ ἔστιν ἄρα τὸ μέγα τῷ μικρῷ ἐναντίον, οὐδὲ τὸ πολὺ τῷ ὀλίγῳ, ὥστε κἂν μὴ τῶν πρός τι ταῦτά τις ἐρεῖ ἀλλὰ τοῦ ποσοῦ, οὐδὲν ἐναντίον ἔξει.—μάλιστα δὲ ἡ ἐναντιότης τοῦ ποσοῦ περὶ τὸν τόπον δοκεῖ ὑπάρχειν· τὸ γὰρ ἄνω τῷ κάτω ἐναντίον τιθέασι, τὴν πρὸς τὸ μέσον χώραν κάτω λέγοντες, διὰ τὸ πλείστην τῷ μέσῳ διάστασιν πρὸς τὰ πέρατα τοῦ κόσμου εἶναι. ἐοίκασι δὲ καὶ τὸν τῶν ἄλλων ἐναντίων ὁρισμὸν ἀπὸ τούτων ἐπιφέρειν· τὰ γὰρ πλεῖστον ἀλλήλων διεστηκότα τῶν ἐν τῷ αὐτῷ γένει ἐναντία ὁρίζονται.

Οὐ δοκεῖ δὲ τὸ ποσὸν ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, οἷον τὸ δίπηχυ, -οὐ γάρ ἐστιν ἕτερον ἑτέρου μᾶλλον

33 ἔτι+δὲ nB(a): °ϕ: [ΔΛP] ἔστι nΛ(a)(ϕ): °σ^c 35–6 γὰρ +ποτε B, αὐτὸ+ποτε n ἅμα om. *P*, post αὐτὸ pos. *ΔI* 36 εἶναι om. B 38 μικρὸν καὶ μέγα *ΛΓ* 6a2 νοσεῖ+τις n 3 ὑγιαίνει +ἀλλ' B alt. οὐδὲ] ἀλλ' οὐδὲ BP*I*,?*Δ* 4 οὐδὲν+ἔστιν ὃ B*ΔP* 5 αὐτοῖς B,?*Γ*: °a 6 ἅμα+καὶ B(*Δ*)*P*: [*ΛΙΓ*] 7 εἴη ἂν B: [*T*] 8 τι ante αὐτὸ add. *I*, ante εἶναι n, post εἶν. *Δ* εἶναι+καὶ n 9 κἂν] εἰ καὶ B: [*T*] 10–11 οὐδὲν ἐναντίον ἔξει] οὐδὲ οὕτως ἐπιδέχεται τὰ ἐναντία ἅμα *IΓ*: [*P*] 12 ὑπάρχειν] εἶναι n: °ϕη^d: [*T*] τῷ] πρὸς τὸ n: °ϕ: [*Λ*]

bir şey olabilir? Yine, büyükle küçük karşıt olsa, aynı nesne aynı zamanda karşıtları kabul etmek zorunda kalırdı; o zaman da aynı nesne kendisine karşıt olurdu. Çünkü aynı nesne aynı anda büyük ya da küçük olabilir –şuna göre küçük, bir başka nesneye göre bu aynı şey büyüktür–. O zaman aynı nesne aynı anda hem küçük hem büyük olabilecek ve aynı zamanda karşıtları kabul etmiş olacak. Oysa hiçbir nesnenin aynı anda karşıtları 6ª kabul ettiği görülmez; sözgelişi varlık, karşıtları kabul edebilmesine karşın, aynı anda hem sağlıklı hem hasta olamaz, aynı anda hem ak hem kara da olamaz. Öteki nesnelerin hiçbiri de aynı anda karşıtları kabul etmez. Üstelik nesnelerin kendi kendilerine karşıt olmaları söz konusu olacaktır: Büyük küçüğe karşıtsa, aynı nesne aynı anda hem büyük hem küçükse, aynı nesne kendi kendine karşıt olacak; oysa aynı nesnenin kendi kendine karşıt olması olanaksız. Demek ki ne büyük küçüğe karşıt, ne de çok aza: Biri bunların görelilerden değil de niceliklerden olduğunu söylese bile, hiçbir karşıtları olmayacaktır – niceliğin karşıtlarının özellikle yer konusunda söz konusu olduğu görünüyor, çünkü en büyük uzaklığın yerin evrenin uçlarına olan uzaklık olmasından ötürü, ortaya doğru [yere doğru] olan yere 'aşağıda' derken yukarının aşağıya karşıt olduğu düşünülür. Öteki karşıtların hepsinin tanımının bunlardan çıktığı görünüyor; nitekim aynı cinste olanlar içinde birbirlerine en uzakta bulunanlar karşıt diye adlandırılıyor.

Niceliğin daha çokluk ya da daha azlığı kabul etmediği görülüyor; sözgelişi iki dirsek –biri ötekinden daha

δίπηχυ· – οὐδ' ἐπὶ τοῦ ἀριθμοῦ, οἷον τὰ τρία τῶν πέντε οὐδὲν μᾶλλον [πέντε ἢ] τρία λέγεται, οὐδὲ τὰ τρία τῶν τριῶν· οὐδέ γε ὁ χρόνος ἕτερος ἑτέρου μᾶλλον χρόνος λέγεται· οὐδ' ἐπὶ τῶν εἰρημένων ὅλως οὐδενὸς τὸ μᾶλλον καὶ τὸ ἧττον λέγεται· ὥστε τὸ ποσὸν οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον.

Ἴδιον δὲ μάλιστα τοῦ ποσοῦ τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι. ἕκαστον γὰρ τῶν εἰρημένων ποσῶν καὶ ἴσον καὶ ἄνισον λέγεται, οἷον σῶμα καὶ ἴσον καὶ ἄνισον λέγεται, καὶ ἀριθμὸς καὶ ἴσος καὶ ἄνισος λέγεται, καὶ χρόνος καὶ ἴσος καὶ ἄνισος· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ῥηθέντων ἕκαστον ἴσον τε καὶ ἄνισον λέγεται. τῶν δὲ λοιπῶν ὅσα μή ἐστι ποσόν, οὐ πάνυ ἂν δόξαι ἴσον τε καὶ ἄνισον λέγεσθαι, οἷον ἡ διάθεσις ἴση τε καὶ ἄνισος οὐ πάνυ λέγεται ἀλλὰ μᾶλλον ὁμοία, καὶ τὸ λευκὸν ἴσον τε καὶ ἄνισον οὐ πάνυ, ἀλλ' ὅμοιον. ὥστε τοῦ ποσοῦ μάλιστα ἂν εἴη ἴδιον τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι.

Πρός τι δὲ τὰ τοιαῦτα λέγεται, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον· οἷον τὸ μεῖζον τοῦθ' ὅπερ ἐστὶν ἑτέρου λέγεται, –τινὸς γὰρ μεῖζον λέγεται,– καὶ τὸ διπλάσιον ἑτέρου λέγεται τοῦθ' ὅπερ ἐστίν, –τινὸς γὰρ διπλάσιον λέγεται· – ὡσαύτως δὲ καὶ ὅσα ἄλλα τοιαῦτα. ἔστι δὲ καὶ τὰ τοιαῦτα τῶν πρός τι οἷον ἕξις, διάθεσις, αἴσθησις, ἐπιστήμη, θέσις· πάντα γὰρ τὰ εἰρημένα

21 οὔτε B: [*T*] 22 *πέντε ἢ*] *τῶν πέντε* (post *τρία* pos.) *I*: om. *Λ* λέγεται+ *ἀριθμὸς ΙΓ*: om. B alt. *τρία*: *πέντε* (*Δ*)*I* 23 ὁ om. B: [*T*] alt. *χρόνος* ¦ *εἶναι* B: om. *Λ* 24 *ὥστε*+*καὶ* B(*Δ*): °*σ*: [*ΛΡΙΓ*] 27 *καὶ ἴσον*] *ἴσον τε* B: [*ΔΛΡΓ*] 28ª *καὶ ἴσος . . . λέγεται* om. *ΔΡ* ὁ *χρόνος* n: [*ΛΡΙΓ*] 29 *ἄνισος*+*λέγεται* n*ΔΡΙ* 30 ἕκαστον post *ἄνισον* pos. n 31 *ὅσα*]·ὃ *ΙΓδ* *ἐστὶν μὴ* n*ΔΓ*: [*P*] ποσά B*Δ*: °*δ*: [*Λ*] 31–2 *ἴσα . . . ἄνισα P*: °*δ* 32–3 *οὐ πάνυ* ante *ἴση* pos. B*Δ* 33 *ὁμοία*+*καὶ ἀνομοία* (*Δ*)*Γ* 34 *τε* om. n: [*ΔΛΡΓ*] *πάνυ* ¦ *λέγεται P* 36 *τοιάδε* n: °*αφοησ*ᵈ: [*T*] 38 *λέγεται* ¦ *μεῖζον* B: °*οησ*ᶜ 38–9 *λέγεται μεῖζον* B*PΓ*: °*οσ*ᶜ: [*Λ*] 39 *τοῦθ' ὅπερ ἐστὶν ἑτέρου λέγεται* B 6ᵇ2 *τὰ τοιάδε* n(*φ*): °*αοσ*ᶜ: [*T*]

çok iki dirsek denemez–, sayı konusunda da bu böyle: 'üç' ya da 'beş'ten hiçbiri ötekinden daha çok 'üç', 'beş' değil; 'üç' de 'üç'ten. Zamana da bir başka zamandan daha çok zaman denmez. Söylediklerimiz içinde hiçbiri için daha çok ya da daha az denmez. Demek
25 ki nicelik daha azlığı, daha çokluğu kabul etmiyor.

Eşitlik ve eşitsizliğin yüklenmesi niceliğe en özgü niteliktir. Sözünü ettiğimiz niceliklerden her birine eşit,
28[a] eşit olmayan denir; zamana eşit, eşit olmayan denir. Öteki söylediklerimiz üzerinde de her birine eşit, eşit
30 olmayan denir. Nicelik olmayan şeylerde ise hiçbir zaman eşit ya da eşit olmayan denmesi düşünülemez; örneğin yatkınlığa hiçbir zaman eşit, eşit olmayan denmez, benzer denir; ak için hiçbir zaman eşit, eşit olmayan denmez, benzer denir. Demek ki eşitlik ile eşitsizli-
35 ğin yüklenmesi nicelik için en özgü nitelik.

Göreliler diye nelikleri başka nesnelerin olmasıyla ya da başka biçimde bir başka nesneye göre söylenenlere denir; sözgelişi daha büyüğün neliği bir başka nesneye göre söylenir –bir nesneden daha büyük denir–; misil de kendisi bir başka nesneye göre söylenir –bir
6[b] nesnenin iki misli denir–. Bu türden öteki şeylerde de bu böyle. Şunlar bir nesneye göre olanlardan: Huy, yatkınlık, duyum; bilim, konum; çünkü bütün bu söyledik-

τοῦθ' ὅπερ ἐστὶν ἑτέρων λέγεται καὶ οὐκ ἄλλο τι· ἡ γὰρ ἕξις τινὸς ἕξις λέγεται καὶ ἡ ἐπιστήμη τινὸς ἐπιστήμη καὶ ἡ θέσις τινὸς θέσις, καὶ τὰ ἄλλα δὲ ὡσαύτως. πρός τι οὖν ἐστὶν ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων λέγεται, ἢ ὅπωσοῦν ἄλλως πρὸς ἕτερον· οἷον ὄρος μέγα λέγεται πρὸς ἕτερον, –πρός τι γὰρ μέγα λέγεται τὸ ὄρος,– καὶ τὸ ὅμοιον τινὶ ὅμοιον λέγεται, καὶ τὰ ἄλλα δὲ τὰ τοιαῦτα ὡσαύτως πρός τι λέγεται. ἔστι δὲ καὶ ἡ ἀνάκλισις καὶ ἡ στάσις καὶ ἡ καθέδρα θέσεις τινές, ἡ δὲ θέσις τῶν πρός τι· τὸ δὲ ἀνακε⟨κλ⟩ίσθαι ἢ ἑστάναι ἢ καθῆσθαι αὐτὰ μὲν οὐκ εἰσὶ θέσεις, παρωνύμως δὲ ἀπὸ τῶν εἰρημένων θέσεων λέγεται.

Ὑπάρχει δὲ καὶ ἐναντιότης ἐν τοῖς πρός τι, οἷον ἀρετὴ κακίᾳ ἐναντίον, ἑκάτερον αὐτῶν πρός τι ὄν, καὶ ἐπιστήμη ἀγνοίᾳ. οὐ πᾶσι δὲ τοῖς πρός τι ὑπάρχει ἐναντίον· τῷ γὰρ διπλασίῳ οὐδὲν ἐστιν ἐναντίον οὐδὲ τῷ τριπλασίῳ οὐδὲ τῶν τοιούτων οὐδενί.–δοκεῖ δὲ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεσθαι τὰ πρός τι· ὅμοιον γὰρ μᾶλλον καὶ ἧττον λέγεται, καὶ ἄνισον μᾶλλον καὶ ἧττον λέγεται, ἑκάτερον αὐτῶν πρός τι ὄν· τό τε γὰρ ὅμοιον τινὶ ὁμοιον λέγεται καὶ τὸ ἄνισον τινὶ ἄνισον. οὐ πάντα δὲ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον· τὸ γὰρ διπλάσιον οὐ λέγεται μᾶλλον καὶ ἧττον διπλάσιον οὐδὲ τῶν τοιούτων οὐδέν.

4 αὐτὰ ἅπερ B(Δ)Γ: °σᶜ: [P] ἑτέρων+εἶναι B(Δ),?P: °σᶜ τι+ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον Δ 6 alt. θέσις+καὶ ἡ αἴσθησις τινὸς αἴσθησις P 7 ἑτέρων+εἶναι B(Δ)P 8 alt. ἕτερον] ὅρος ἕτ. ΛΙ: ἕτ. ὅρος n,?σᶜ 12 ἀνακεκλίσθαι corr. cod. Urb. 35, ?Δ: ἀνακεῖσθαι nBΛaϕᶜσᶜ: [PIΓ] 14 λέγονται nσσ: [T] 16 ἀρετῇ κακία I: °ϕο αὐτῶν] τῶν BΔϕο: °a: [ΛP] ὂν post ἑκάτερον pos. B: °aϕο: [ΛP] 17 ὑπάρχει+τὸ B: +τὰ σᶜ: °o: [T] ἐναντία nσᶜ: °o 19 οὐδενί] τινί o: [Λ] 20 τὸ om. n,?Γ: °aϕσᶜ: [ΛP] γὰρ+καὶ ἀνόμοιον B(ϕ): [Γ] 21 λέγεται+καὶ ἴσον BPlϕ: °?σᶜ ἄνισον] ἀνισαίτερον nΔσᶜ, Iambl. teste Simpl.: °ϕ: [PIΓ] 23 τὰ ἀνισαίτερα ἑτέρων τινῶν ἀνίσων ἀνισαίτερα n ἀνισαίτερον bis Δ 25 δὲ+τὰ πρός τι Δ(Λ)P,?σᶜ 26 λέγεται] ἐπιδέχεται (Δ)P διπλάσιον om. ΔP

lerimiz ayrı bir nesne olarak değil, kendisinin ne olduğu başka bir nesneye göre söylenenlerden. Çünkü huya, birinin huyu, bilime bir şeyin bilimi, konuma bir şeyin konumu denir; ötekilerde de bu böyle. O halde görelilerin hepsinin neliği başka nesnelere göre söylenir ya da başka bir biçimde başka bir nesneye gönderide bulunulur; sözgelişi tepeye başka birine göre büyük denir –çünkü tepeye bir nesneye göre büyük denir–; benzer için de bir nesneye benzer olduğu söylenir; bu türden olanlarda da bu böyle, bir nesneye göre söylenirler. Öte yandan 'yatma', 'dik durma', 'oturma' gibi konumlar, yani konum da görelilerden ama, 'yatmak', 'dik durmak', 'oturmak', bunların kendileri konum değil, sözünü ettiğimiz konumlardan türetilerek söylenirler.

Görelilerde karşıtlık söz konusu, sözgelişi görelilerden erdem kötülüğe, bilgi bilgisizliğe karşıt. Ama görelilerin hepsinin karşıtı yok, nitekim iki misline, üç misline ya da bu tür şeylerin hiçbirine karşıt bir şey yok. Görelilerin daha azlık ya da daha çokluğu kabul ettiği görünüyor: Benzere daha çok benzer, daha az benzer deniyor; eşit olmayana daha az ya da daha çok eşit olmayan deniyor. Bunların her biri de görelilerden; nitekim benzere, bir nesneye benzer; eşit olmayan bir nesneye eşit olmayan deniyor. Ama hepsi daha çokluk ve daha azlığı kabul etmez: İki misline daha çok, daha az iki misli denmez, benzerlerinde de bu böyle.

Πάντα δὲ τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται, οἷον ὁ δοῦλος δεσπότου λέγεται δοῦλος καὶ ὁ δεσπότης δούλου δεσπότης λέγεται, καὶ τὸ διπλάσιον ἡμίσεος διπλάσιον καὶ τὸ ἥμισυ διπλασίου ἥμισυ, καὶ τὸ μεῖζον ἐλάττονος μεῖζον καὶ τὸ ἔλαττον μείζονος ἔλαττον· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων· πλὴν τῇ πτώσει ἐνίοτε διοίσει κατὰ τὴν λέξιν, οἷον ἡ ἐπιστήμη ἐπιστητοῦ λέγεται ἐπιστήμη καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν, καὶ ἡ αἴσθησις αἰσθητοῦ αἴσθησις καὶ τὸ αἰσθητὸν αἰσθήσει αἰσθητόν. οὐ μὴν ἀλλ' ἐνίοτε οὐ δόξει ἀντιστρέφειν, ἐὰν μὴ οἰκείως πρὸς ὃ λέγεται ἀποδοθῇ ἀλλὰ διαμάρτῃ ὁ ἀποδιδούς· οἷον τὸ πτερὸν ἐὰν ἀποδοθῇ ὄρνιθος, οὐκ ἀντιστρέφει ὄρνις πτεροῦ· οὐ γὰρ οἰκείως τὸ πρῶτον ἀποδέδοται πτερὸν ὄρνιθος, –οὐ γὰρ ἧ ὄρνις, ταύτῃ τὸ πτερὸν αὐτῆς λέγεται, ἀλλ' ἧ πτερωτόν ἐστιν· πολλῶν γὰρ καὶ ἄλλων πτερά ἐστιν ἃ οὐκ εἰσὶν ὄρνιθες·– ὥστε ἐὰν ἀποδοθῇ οἰκείως, καὶ ἀντιστρέφει, οἷον τὸ πτερὸν πτερωτοῦ πτερὸν καὶ τὸ πτερωτὸν πτερῷ πτερωτόν.—ἐνίοτε δὲ καὶ ὀνοματοποιεῖν ἴσως ἀναγκαῖον, ἐὰν μὴ κείμενον ᾖ ὄνομα πρὸς ὃ οἰκείως ἂν ἀποδοθείη· οἷον τὸ πηδάλιον πλοίου ἐὰν ἀποδοθῇ, οὐκ οἰκεία ἡ ἀπόδοσις, –οὐ γὰρ ἧ πλοῖον ταύτῃ αὐτοῦ τὸ πηδάλιον λέγεται· ἔστι γὰρ πλοῖα ὧν οὐκ ἔστι πηδάλια·– διὸ οὐκ ἀντιστρέφει· τὸ γὰρ πλοῖον οὐ λέγεται πηδαλίου πλοῖον. ἀλλ' ἴσως οἰκειοτέρα ἂν ἡ ἀπόδοσις εἴη, εἰ οὕτω πως ἀποδοθείη τὸ πηδάλιον πηδαλιωτοῦ πηδάλιον ἢ ὁπωσοῦν ἄλλως, –ὄνομα γὰρ οὐ κεῖται·– καὶ ἀντιστρέφει γε, ἐὰν οἰκείως ἀποδοθῇ· τὸ γὰρ πηδαλιωτὸν πηδαλίῳ πηδαλιωτόν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, οἷον ἡ κεφαλὴ οἰκειοτέρως ἂν ἀποδοθείη κεφαλωτοῦ ἢ ζῴου ἀποδιδομένη· οὐ γὰρ ἧ ζῷον κεφαλὴν ἔχει· πολλὰ γὰρ

29 δοῦλος λέγεται Π(ϕ)σ^{c},ℓ Λ 30 λέγεται + εἶναι Β(ϕ): om. Λ 32 καὶ . . . μείζονος ἔλαττον om. ΙΓ 7a2 αὐτοῦ Β: °σ: [Τ] 8 ἀπόδοσις + γίνεται Β 10 πηδάλιον nΓ διό + καὶ nΓ: [ΔΛΡΙ] 11 πλοῖον om. ΔΙΓ 12 alt. πηδάλιον om. ΙΓ

Görelilerden her biri evriği için söylenir: Sözgelişi köleye efendinin kölesi, efendiye kölenin efendisi; iki misline yarımın iki misli; yarıma iki mislinin yarısı; daha büyüğe daha küçüğün daha büyüğü, daha küçüğe daha büyüğün daha küçüğü denir. Ötekilerde de bu böyle. Ama kimi kez söyleyişe göre hal bakımından ayrım olacaktır; örneğin bilgiye bilinebilir olanın bilgisi, bilinebilir olana bilgiyle bilinebilir olan denir; duyuya duyulabilirin duyusu, duyulabilire duyuyla duyulabilir denir. Ama kendisi için söylenen nesne uygun biçimde alınmazsa, alma yanlış olursa kimi kez evirme olmazmış gibi gelir; sözgelişi kanat, kuşun kanadı diye alınmışsa "kanadın kuşu" diye evirme olamaz, çünkü ilk terim olarak kuşun kanadının alınması uygun değil –kuşa kuş olmakla değil, kanatlı olmasıyla kuşun kanadı denir, çünkü kuş olmayan kanatlılar da var–. Demek ki uygun biçimde alındığında, sözgelişi kanat için kanatlının kanadı, kanatlı için kanadıyla kanatlı denirse evirme olur. Kimi kez ise uygun olarak alınabilecek bir ad bulunmadığında ad bulmak zorunlu. Sözgelişi dümen, geminin dümeni olarak alınırsa uygun olmaz –gemi için gemi olması açısından onun dümeni denmez; çünkü dümeni olmayan gemiler de var–; bundan ötürü de evirme olmaz. Çünkü gemiye dümenin gemisi denmez. Dümen, dümenlinin dümeni ya da benzeri bir başka biçimde alınırsa –çünkü adı yok– uygun olur, alma uygun olunca evirme de olur. Nitekim dümenliye dümeniyle dümenli denir. Ötekilerde de bu böyle. Sözgelişi kafa, hayvanın kafası diye değil, kafalının kafası diye alınsa daha uygun alınmış olur; çünkü hayvan, hayvan olmakla kafalı

τῶν ζῴων κεφαλὴν οὐκ ἔχει. οὕτω δὲ ῥᾷστα ἂν ἴσως τις λαμβάνοι οἷς μὴ κεῖται ὀνόματα, εἰ ἀπὸ τῶν πρώτων καὶ τοῖς πρὸς αὐτὰ ἀντιστρέφουσι τιθείη τὰ ὀνόματα, ὥσπερ ἐπὶ τῶν προειρημένων ἀπὸ τοῦ πτεροῦ τὸ πτερωτὸν καὶ ἀπὸ τοῦ πηδαλίου τὸ πηδαλιωτόν. πάντα οὖν τὰ πρός τι, ἐάνπερ οἰκείως ἀποδιδῶται, πρὸς ἀντιστρέφοντα λέγεται· ἐπεί, ἐάν γε πρὸς τὸ τυχὸν ἀποδιδῶται καὶ μὴ πρὸς αὐτὸ ὃ λέγεται, οὐκ ἀντιστρέφει.—λέγω δὲ ὅτι οὐδὲ τῶν ὁμολογουμένως πρὸς ἀντιστρέφοντα λεγομένων καὶ ὀνομάτων αὐτοῖς κειμένων οὐδὲν ἀντιστρέφει, ἐὰν πρός τι τῶν συμβεβηκότων ἀποδιδῶται καὶ μὴ πρὸς αὐτὸ ὃ λέγεται· οἷον ὁ δοῦλος ἐὰν μὴ δεσπότου ἀποδοθῇ ἀλλ' ἀνθρώπου ἢ δίποδος ἢ ὁτουοῦν τῶν τοιούτων, οὐκ ἀντιστρέφει· οὐ γὰρ οἰκεία ἡ ἀπόδοσις.—ἔτι ἐὰν μὲν οἰκείως ἀποδεδομένον ᾖ πρὸς ὃ λέγεται, πάντων περιαιρουμένων τῶν ἄλλων ὅσα συμβεβηκότα ἐστίν, καταλειπομένου δὲ τούτου μόνου πρὸς ὃ ἀπεδόθη οἰκείως, ἀεὶ πρὸς αὐτὸ ῥηθήσεται· οἷον εἰ ὁ δοῦλος πρὸς δεσπότην λέγεται, περιαιρουμένων ἁπάντων ὅσα συμβεβηκότα ἐστὶ τῷ δεσπότῃ, οἷον τὸ δίποδι εἶναι, τὸ ἐπιστήμης δεκτικῷ, τὸ ἀνθρώπῳ, καταλειπομένου δὲ μόνου τοῦ δεσπότην εἶναι, ἀεὶ ὁ δοῦλος πρὸς αὐτὸ ῥηθήσεται· ὁ γὰρ δοῦλος δεσπότου δοῦλος λέγεται. ἐὰν δέ γε μὴ οἰκείως ἀποδοθῇ πρὸς ὃ ποτε λέγεται, περιαιρουμένων μὲν τῶν ἄλλων καταλειπομένου δὲ μόνου τοῦ πρὸς ὃ ἀπεδόθη, οὐ ῥηθήσεται πρὸς αὐτό· ἀπο- 7b

18–19 τις ante ἴσως pos. n : ante οἷς *PIΓ*(ϕ) : [*Λ*1] 19 λάβοι *Δ*(ϕ) : [*ΛPIΓ*] 20 αὐτὰ] ἃ Bϕ,?*Λ* : [*PIΓ*] 25 ὁμολογουμένων n*Δ* : + ὡς n : *ϕσ^{c} 28 μὴ ι ἢ (sic) n : ι ?ἡ *Δ* : *ϕ αὐτὰ ἃ n*Δϕ* 29 ἀποδοθῇ ι· δοῦλος n*PI* 30 ὁτουοῦν n 31 ἀπόδουσις· + ἐστιν B,?*Δ*1 μὲν ι· τι *BP* : *αϕσ^{c} 33 λειπομένου n : *ϕ : [*T*] μόνου τούτου B*I*(ϕ) 34 οἰκείως om. *ΛΓ* : *ϕσ^{c} 34–5 εἰ ὁ δοῦλος] ὁ δοῦλος ἐὰν B : [*T*] 35 λέγηται B : [*T*] 36 ἁπάντων] τῶν ἄλλων *J*(ϕ)σ : τῶν ἄλλων ἁπάντων Π 37 εἶναι + καὶ B*Δ*σ,?*ΛP* : *ϕ δεκτικῷ· + καὶ B(ϕ)σ,?*Λ* : + εἶναι *J*(ϕ) 39 ῥηθήσεται] λέγεται (*Δ*)*P* alt. δοῦλος om. *IΓ* λέγεται] ῥηθήσεται B*Δ* 7b2 μὲν om. *IΓ*,?*Λ* : [*ΔP*]

olmaz, nitekim pek çok hayvanın kafası yok. Daha önce sözünü ettiklerimizde, kanattan kanatlının, dümenden dümenlinin gelmesi gibi, ilk terimlerden gelen adlar evriklerine konursa, adı olmayanlara en kolay bu biçimde ad bulunabilir. Demek ki uygun alınmak koşuluyla görelilerin hepsi evriği için söylenir. Ancak kendisine göre söylendiği nesneye göre değil de, rastgele alınırsa evirme olmaz. Söylediğim şu: Evriği için söylendiğine herkesin katıldığı görelilerde ve adları bulunanlarda bile, söylendiği nesnenin kendisine göre değil, bir ilineğine göre alınırsa evirme olmaz; sözgelişi köle "efendinin kölesi" diye değil, "insanın kölesi", "iki ayaklının kölesi" ya da benzeri bir şeyin kölesi diye alınırsa evirme olmaz, çünkü alma uygun değil–. Öte yandan kendisi için söylenen nesneye göre uygun alındıkta ilinek olan öteki şeyler kaldırılsa da tek onun için uygun olarak alınan şeyin kendisi kalsa, onun için her zaman söylenecek; sözgelişi köle efendi için söyleniyorsa, 'iki ayaklı olmak', 'bilgi edinebilir olmak', 'insan olmak' gibi efendi için ilinek olan bütün nitelikler kaldırıldıkta, yalnızca 'efendi olmak' kaldığında, köle her zaman onun için söylenecektir, çünkü köleye "efendinin kölesi" de-
7[b] nir. Ama kendisi için söylendiği nesneye uygun olarak alınmamışsa, öteki ilinekler kaldırılıp da tek kendisine göre söylenen nesne kaldıkta, onun için söylenmeyecek-

δεδόσθω γὰρ ὁ δοῦλος ἀνθρώπου καὶ τὸ πτερὸν ὄρνιθος, καὶ περιῃρήσθω τοῦ ἀνθρώπου τὸ δεσπότῃ αὐτῷ εἶναι· οὐ γὰρ ἔτι ὁ δοῦλος πρὸς ἄνθρωπον ῥηθήσεται, –μὴ γὰρ ὄντος δεσπότου οὐδὲ δοῦλός ἐστιν– ὡσαύτως δὲ καὶ τοῦ ὄρνιθος περιῃρήσθω τὸ πτερωτῷ εἶναι· οὐ γὰρ ἔτι ἔσται τὸ πτερὸν τῶν πρός τι· μὴ γὰρ ὄντος πτερωτοῦ οὐδὲ πτερὸν ἔσται τινός.— ὥστε δεῖ μὲν ἀποδιδόναι πρὸς ὃ ποτε οἰκείως λέγεται· κἂν μὲν ὄνομα ᾖ κείμενον μᾶλλον ἡ ἀπόδοσις γίγνεται, μὴ ὄντος δὲ ἀναγκαῖον ἴσως ὀνοματοποιεῖν. οὕτω δὲ ἀποδιδομένων φανερὸν ὅτι πάντα τὰ πρός τι πρὸς ἀντιστρέφοντα ῥηθήσεται.

Δοκεῖ δὲ τὰ πρός τι ἅμα τῇ φύσει εἶναι. καὶ ἐπὶ μὲν τῶν πλείστων ἀληθές ἐστιν· ἅμα γὰρ διπλάσιόν τέ ἐστι καὶ ἥμισυ, καὶ ἡμίσεος ὄντος διπλάσιόν ἐστιν, καὶ δούλου ὄντος δεσπότης ἐστίν· ὁμοίως δὲ τούτοις καὶ τὰ ἄλλα. καὶ συναναιρεῖ δὲ ταῦτα ἄλληλα· μὴ γὰρ ὄντος διπλασίου οὐκ ἔστιν ἥμισυ, καὶ ἡμίσεος μὴ ὄντος οὐκ ἔστι διπλάσιον· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων ὅσα τοιαῦτα.— οὐκ ἐπὶ πάντων δὲ τῶν πρός τι ἀληθὲς δοκεῖ τὸ ἅμα τῇ φύσει εἶναι· τὸ γὰρ ἐπιστητὸν τῆς ἐπιστήμης πρότερον ἂν δόξειεν εἶναι· ὡς γὰρ ἐπὶ τὸ πολὺ προϋπαρχόντων τῶν πραγμάτων τὰς ἐπιστήμας λαμβάνομεν· ἐπ' ὀλίγων γὰρ ἢ ἐπ' οὐδενὸς ἴδοι τις ἂν ἅμα τῷ ἐπιστητῷ τὴν ἐπιστήμην γιγνομένην. ἔτι τὸ μὲν ἐπιστητὸν ἀναιρεθὲν συναναιρεῖ τὴν ἐπιστήμην, ἡ δὲ ἐπιστήμη τὸ ἐπιστητὸν οὐ συναναιρεῖ· ἐπιστητοῦ γὰρ μὴ ὄντος οὐκ ἔστιν ἐπιστήμη, –οὐδενὸς γὰρ ἔτι ἔσται ἐπιστήμη,– ἐπιστήμης δὲ μὴ οὔσης οὐδὲν κωλύει ἐπιστητὸν εἶναι· οἷον καὶ ὁ τοῦ κύκλου τετραγω-

5 αὐτῷ *om. ΛΙΓ* 7 ἔσται *PI* 11 κείμενον + καὶ *PΓ*: [*ΔΛΙ*] 14 λέγεται *ΔΛ,lP*: °σ 16 ἐστιν + ἐπ' ἐνίων δὲ οὐκ (+ ἐστιν (ϕ)) ἀληθές *PIϕ*: °ο 17 ἥμισυ | ἐστι n*ΙΓ*(ϕ): °ο ἐστιν + καὶ δεσπότου ὄντος δοῦλός ἐστιν B 23–24 πρότερον ἂν δόξειε τῆς ἐπιστήμης B: °αϕ 24 ὑπαρχόντων π,l*ΛΙΓ*: °αϕσ^{c} 26 ἂν om. n*Ia*^{c}(ϕ^{c}): ante ἢ pon. B: °π: [*ΔΛΡΓ*] 29 ἐπιστητοῦ + μὲν nB: [*ΔΛΡ*] 31 καὶ om. ϕο: °α: [*ΔΛΡΓ*]

tir: Nitekim köle "insanın kölesi", kanat "kuşun kanadı" diye alınmışsa, insanın 'efendi olmak' niteliği kaldırıldığında, artık köle 'insan' için söylenmeyecektir –çünkü efendi olmayınca köle de yok–. Kuşun 'kanatlı olmak' niteliği kaldırıldığında da bu böyle, çünkü kanat artık görelilerden olmayacak, kanatlı olmayınca da bir nesnenin kanadı olmayacak. Demek ki uygun olarak söylendiği nesneye göre almak gerekir; bir adı varsa ele alma kolay oluyor, bir adı olmadığında ad uydurmak gerekiyor. Bu biçimde ele alınan görelilerin hepsinin evriği için söyleneceği açık.

Görelilerin doğal olarak zamandaş oldukları görünüyor. Çoğu görelilerde bu doğru, iki misille yarım aynı zamanda var, yarım olunca iki misil var; köle olunca efendi var, ötekilerde de bu böyle. Ayrıca bunlar birbirlerini yok eder: İki misil olmayınca yarım yok, yarım olmayınca iki misil yok, buna benzeyen başka şeylerde de bu böyle. Ancak görelilerin hepsinde doğal olarak zamandaşlık olduğu pek doğru gibi gelmiyor, çünkü bilinebilir olanın bilgiden önce var olduğu görünüyor, çünkü pek çok durumda bilgileri daha önce olan nesnelerden ediniyoruz. Pek az durumda bilinebilir olanla bilgi zamandaş olur ya da bu hiç görülmez. Öte yandan bilinebilir olan yoksa bilgiyi de yok eder ama bilgi olmayınca bilinebiliri yok etmez, nitekim bilinebilir olmayınca bilgi de yok –çünkü hiçbir şeyin bilgisi olmayacaktır–; oysa bilgi olmadığında bilinebilirin olmasına engel yok; sözgelişi dairenin dörtgenleştirilmesi biline-

νισμὸς εἶγε ἔστιν ἐπιστητόν, ἐπιστήμη μὲν αὐτοῦ οὐκ ἔστιν οὐδέπω, αὐτὸ δὲ τὸ ἐπιστητὸν ἔστιν. ἔτι ζῴου μὲν ἀναιρεθέντος οὐκ ἔστιν ἐπιστήμη, τῶν δ' ἐπιστητῶν πολλὰ ἐνδέχεται εἶναι.—ὁμοίως δὲ τούτοις καὶ τὰ ἐπὶ τῆς αἰσθήσεως ἔχει· τὸ γὰρ αἰσθητὸν πρότερον τῆς αἰσθήσεως δοκεῖ εἶναι· τὸ μὲν γὰρ αἰσθητὸν ἀναιρεθὲν συναναιρεῖ τὴν αἴσθησιν, ἡ δὲ αἴσθησις τὸ αἰσθητὸν οὐ συναναιρεῖ. αἱ γὰρ αἰσθήσεις περὶ σῶμα καὶ ἐν σώματί εἰσιν, αἰσθητοῦ δὲ ἀναιρεθέντος ἀνῄρηται καὶ σῶμα, —τῶν γὰρ αἰσθητῶν καὶ τὸ σῶμα,— σώ- 8a
ματος δὲ μὴ ὄντος ἀνῄρηται καὶ ἡ αἴσθησις, ὥστε συναναιρεῖ τὸ αἰσθητὸν τὴν αἴσθησιν. ἡ δέ γε αἴσθησις τὸ αἰσθητὸν οὔ· ζῴου γὰρ ἀναιρεθέντος αἴσθησις μὲν ἀνῄρηται, αἰσθητὸν δὲ ἔσται, οἷον σῶμα, θερμόν, γλυκύ, πικρόν, καὶ τὰ ἄλλα πάντα ὅσα ἐστὶν αἰσθητά. ἔτι ἡ μὲν αἴσθησις ἅμα τῷ αἰσθητικῷ γίγνεται, ἅμα γὰρ ζῴόν τε γίγνεται καὶ αἴσθησις,— τὸ δέ γε αἰσθητὸν ἔστι καὶ πρὸ τοῦ αἴσθησιν εἶναι, —πῦρ γὰρ καὶ ὕδωρ καὶ τὰ τοιαῦτα, ἐξ ὧν καὶ τὸ ζῷον συνίσταται, ἔστι καὶ πρὸ τοῦ ζῷον ὅλως εἶναι ἡ αἴσθησιν,— ὥστε πρότερον ἂν τῆς αἰσθήσεως τὸ αἰσθητὸν εἶναι δόξειεν.

Ἔχει δὲ ἀπορίαν πότερον οὐδεμία οὐσία τῶν πρός τι λέγεται, καθάπερ δοκεῖ, ἢ τοῦτο ἐνδέχεται κατά τινας τῶν δευτέρων οὐσιῶν. ἐπὶ μὲν γὰρ τῶν πρώτων οὐσιῶν ἀληθές ἐστιν· οὔτε γὰρ τὰ ὅλα οὔτε τὰ μέρη πρός τι λέγεται· ὁ γὰρ τὶς ἄνθρωπος οὐ λέγεται τινός τις ἄνθρωπος, οὐδὲ ὁ τὶς βοῦς τινός τις βοῦς· ὡσαύτως δὲ καὶ τὰ μέρη· ἡ

32 εἶγε] εἰ πσ^{c} : $^{\bullet}\phi\sigma$: [T] μὲν] γὰρ Δ : μὲν γὰρ I : $^{\bullet}\phi\sigma\sigma^{c}$ 33 οὔπω σσ^{c} : πω ϕ : [T] αὐτὸ (τοῦτο σ,? Λ) om. $\phi\sigma^{c}$ τὸ ante δὲ pos. $\phi\sigma^{c}$: om. B : [T] 34 ἔσται B(ϕ) 35 ἔχει ante τούτοις pos. n, post τούτοις ΛPI : om. Γ,?ϕ 8a1 prius καὶ + τὸ B : [T] τῶν . . . σῶμα om. $\Delta\Gamma$ 4 οὔ | συναναιρεῖ BΔP ἡ αἴσθησις n : [T] ἀναιρεῖται n : [$\Delta PI\Gamma$] 5 ἔστι BΔ : [Λ] σῶμα οἷον B(Δ) 7 τε om. ϕ : [$\Delta\Lambda P\Gamma$] 8 ἡ αἴσθησις n : $^{\bullet}\phi$: [T] 10 prius καὶ om. ϕ,?$I\Gamma$: [Λ] συνίσταται + τὸ αἰσθητόν B : $^{\bullet}\phi$ ὅλως ζῷον n : $^{\bullet}\phi$ 14 τοῦτο + μὲν $\Lambda\eta$: $^{\bullet}o$: [ΔP]

bilir olarak varsa, onun bilgisi hiç olmasa bile bilinebilirin kendisi var. Öte yandan canlı olmayınca bilgi de yok ama, bilinebilir pek çok nesnenin olması olanaklı. Duyum konusundaki şeylerde de bu böyle, nitekim duyulabilirin duyumdan önce var olduğu görünüyor. Duyulabilir yok olduğunda duyumu yok eder ama, duyum yok olunca duyulabiliri yok etmez. Duyumlar cisim konusunda, cisim içindeler, duyulabilir yok olduğunda cisim
8[a] de yok olmuştur –cisim de duyulabilir olanlardan–, cisim olmayınca duyum da yok olmuştur. O halde duyulabilir yok olunca duyumu yok eder ama, duyum duyulabiliri yok etmez. Nitekim canlı yok olduğunda duyum
5 da yok olacak, oysa cisim, sıcaklık, tatlı, acı, duyulabilir öteki şeylerin hepsi duyulabilir olarak var olacak. Öte yandan duyanla duyum zamandaş –canlıyla duyum zamandaş–, oysa duyulabilir, duyumun olmasından önce var –nitekim canlının da onlardan yapılmış olduğu ateş,
10 su, benzeri şeyler canlının bir bütün olarak var olmasından, ya da duyumun var olmasından önce var–. Demek ki duyulabilirin duyumdan önce var olduğu görülebilir.

Göründüğü gibi hiçbir varlığın görelilerden sayılmayacağı mı yoksa bunun kimi ikincil varlıklar için kabul
15 edilebileceği mi sorunu var: İlk varlıklarda bu açık, bütün olarak da parça olarak da bir nesneye göre söylenmezler. Belli bir insan "birinin bir insanı", belli bir öküze "birinin bir öküzü" denmez. Parça olarak da bu böyle:

γὰρ τὶς χεὶρ οὐ λέγεται τινός τις χεὶρ ἀλλὰ τινὸς χείρ, καὶ ἡ τὶς κεφαλὴ οὐ λέγεται τινός τις κεφαλὴ ἀλλὰ τινὸς κεφαλή. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν δευτέρων οὐσιῶν, ἐπί γε τῶν πλείστων· οἷον ὁ ἄνθρωπος οὐ λέγεται τινὸς ἄνθρωπος, οὐδὲ ὁ βοῦς τινὸς βοῦς, οὐδὲ τὸ ξύλον τινὸς ξύλον, ἀλλὰ τινὸς κτῆμα λέγεται. ἐπὶ μὲν οὖν τῶν τοιούτων φανερὸν ὅτι οὐκ ἔστι τῶν πρός τι, ἐπ' ἐνίων δὲ τῶν δευτέρων οὐσιῶν ἔχει ἀμφισβήτησιν· οἷον ἡ κεφαλὴ τινὸς λέγεται κεφαλὴ καὶ ἡ χεὶρ τινὸς λέγεται χεὶρ καὶ ἕκαστον τῶν τοιούτων, ὥστε ταῦτα τῶν πρός τι δόξειεν ἂν εἶναι.—εἰ μὲν οὖν ἱκανῶς ὁ τῶν πρός τι ὁρισμὸς ἀποδέδοται, ἢ τῶν πάνυ χαλεπῶν ἢ τῶν ἀδυνάτων ἐστὶ τὸ λῦσαι ὡς οὐδεμία οὐσία τῶν πρός τι λέγεται· εἰ δὲ μὴ ἱκανῶς, ἀλλ' ἔστι τὰ πρός τι οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν, ἴσως ἂν ῥηθείη τι πρὸς αὐτά. ὁ δὲ πρότερος ὁρισμὸς παρακολουθεῖ μὲν πᾶσι τοῖς πρός τι, οὐ μὴν τοῦτό γέ ἐστι τὸ πρός τι αὐτοῖς εἶναι τὸ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων λέγεσθαι. ἐκ δὲ τούτων δῆλόν ἐστιν ὅτι ἐάν τις εἰδῇ τι ὡρισμένως τῶν πρός τι, κἀκεῖνο πρὸς ὃ λέγεται ὡρισμένως εἴσεται. φανερὸν μὲν οὖν καὶ ἐξ αὐτοῦ ἐστίν· εἰ γὰρ οἷδέ τις τόδε τι ὅτι τῶν πρός τί ἐστιν, ἔστι δὲ τὸ εἶναι τοῖς πρός τι ταὐτὸ τῷ
8b πρός τί πως ἔχειν, κἀκεῖνο οἷδε πρὸς ὃ τοῦτό πως ἔχει· εἰ γὰρ οὐκ οἶδεν ὅλως πρὸς ὃ τοῦτό πως ἔχει, οὐδ' εἰ πρός τί πως ἔχει εἴσεται. καὶ ἐπὶ τῶν καθ' ἕκαστα δὲ δῆλον τὸ τοιοῦτον· οἷον τόδε τι εἰ οἶδεν ἀφωρισμένως ὅτι ἔστι διπλάσιον, καὶ ὅτου διπλάσιόν ἐστιν εὐθὺς ἀφωρισμένως οἶδεν, —εἰ γὰρ μηδενὸς τῶν ἀφωρισμένων οἶδεν αὐτὸ διπλάσιον, οὐδ' εἰ ἔστι διπλάσιον ὅλως οἶδεν·— ὡσαύτως δὲ καὶ

19 τις om. *PΓ* χεὶρ ἀλλὰ τινὸς om. *ΔΓ* 22 ὁ om. n: $^{\bullet}\sigma^{c}$: [*T*] 23 ὁ om. n(σ^{c}): [*T*] 30 λῦσαι] δεῖξαι B$\phi\sigma^{c}$: λῦσαι ἢ δεῖξαι *P*: $^{\bullet}$η 33 ταῦτα *Δ*ϕ^{d}: [*ΛPIΓ*] 34 ταὐτό Bϕ^{c} 35 δὴ B*Λ*(ϣ)(ϕ),?*I*: [*PΓ*] 38 αὐτῶν B*P* 39 ἔστι τῶν πρός τι B τῷ] τὸ *Δ*,?*Λ* 8b2 οὐκ] μὴ n: [*T*] 6 μή τινος n: [*ΔΛP*] διπλάσιον+εἶναι (vel ὄν) *T* 7 διπλάσιόν ἐστιν B: [*T*]

Belli bir ele "birinin herhangi bir eli" değil "birinin eli"; belli bir başa "birinin bir başı" değil, "birinin başı" denir. İkincil varlıklarda, en azından çoğunda bu böyle; sözgelişi insana "birinin insanı", öküze "birinin öküzü", oduna "birinin odunu" denmez, "birinin malı" denir. Bunların görelilerden olmadığı açık, ama ikincil varlıkların kiminde bir sorun var: Örneğin başa "birinin başı", ele "birinin eli" denir, bu gibilerin her biri için de bu böyledir. O zaman bunlar görelilerdenmiş gibi gelebiliyor. Görelilerin tanımı kesinlikle verilmişse, hiçbir varlığın görelilerden sayılıp sayılmayacağına çözüm getirmek çok zor ya da olanaksız olur, ama tanım kesinlikle verilmemişse, kendileri herhangi bir nesneyle belli bir ilişkide olmalarıyla var oldukları belirlenen nesnelere göreli deniyorsa, belki soruna bir çözüm getirilebilir. Önceki tanımımız görelilerin hepsine uyar ama, göreliler için 'göreli olmak' kendilerinin oldukları nesne olarak başka nesnelere göre söylenmek değil. Bunlardan açık ki, bir göreli tanımca bilinirse, onun neye göre olduğu da tanımca bilinecek. Şurdan da açık: Biri bir nesnenin görelilerden olduğunu biliyorsa, göreli olması bir nesneyle belli bir ilişkide ol-
8[b] maksa, o bu nesnenin belli bir ilişkide olduğu nesneyi bilecek. –Bir nesnenin belli bir ilişkide olduğu nesneyi bilmeyen o nesnenin bir nesneyle herhangi bir ilişkide olup olmadığını da bilmeyecektir–. Bunlar tek tek ele alınanlarda da açık: Sözgelişi belli bir nesnenin iki misli olduğunu tanımca bilirse, neyin iki misli olduğunu da tanımca kesinlikle bilecektir –o nesnenin neyin iki misli olduğunu tanımca bilmeseydi, onun iki misli olup olmadığını da kesinlikle bilemezdi–. Aynı biçimde, bir nes-

τόδε τι εἰ οἶδεν ὅτι κάλλιόν ἐστι, καὶ ὅτου κάλλιόν ἐστιν ἀφωρισμένως ἀναγκαῖον εἰδέναι διὰ ταῦτα, (οὐκ ἀορίστως δὲ εἴσεται ὅτι τοῦτό ἐστι χείρονος κάλλιον· ὑπόληψις γὰρ τὸ τοιοῦτο γίγνεται, οὐκ ἐπιστήμη· οὐ γὰρ ἴσμεν εἴσεται ἀκριβῶς ὅτι ἐστὶ χείρονος κάλλιον· εἰ γὰρ οὕτως ἔτυχεν, οὐδέν ἐστι χεῖρον αὐτοῦ)· ὥστε φανερὸν ὅτι ἀναγκαῖόν ἐστιν, ὃ ἂν εἰδῇ τις τῶν πρός τι ὡρισμένως, κἀκεῖνο πρὸς ὃ λέγεται ὡρισμένως εἰδέναι. τὴν δέ γε κεφαλὴν καὶ τὴν χεῖρα καὶ ἕκαστον τῶν τοιούτων αἱ εἰσὶν οὐσίαι αὐτὸ μὲν ὅπερ ἐστὶν ὡρισμένως ἔστιν εἰδέναι, πρὸς ὃ δὲ λέγεται οὐκ ἀναγκαῖον· τίνος γὰρ αὕτη ἡ κεφαλὴ ἢ τίνος ἡ χεὶρ οὐκ ἔστιν εἰδέναι ὡρισμένως· ὥστε οὐκ ἂν εἴη ταῦτα τῶν πρός τι· εἰ δὲ μή ἐστι τῶν πρός τι, ἀληθὲς ἂν εἴη λέγειν ὅτι οὐδεμία οὐσία τῶν πρός τί ἐστιν. ἴσως δὲ χαλεπὸν περὶ τῶν τοιούτων σφοδρῶς ἀποφαίνεσθαι μὴ πολλάκις ἐπεσκεμμένον, τὸ μέντοι διηπορηκέναι ἐφ' ἕκαστον αὐτῶν οὐκ ἄχρηστόν ἐστιν.

8 Ποιότητα δὲ λέγω καθ' ἣν ποιοί τινες λέγονται· ἔστι δὲ ἡ ποιότης τῶν πλεοναχῶς λεγομένων. ἓν μὲν οὖν εἶδος ποιότητος ἕξις καὶ διάθεσις λεγέσθωσαν. διαφέρει δὲ ἕξις διαθέσεως τῷ μονιμώτερον καὶ πολυχρονιώτερον εἶναι· τοιαῦται δὲ αἵ τε ἐπιστῆμαι καὶ αἱ ἀρεταί· ἥ τε γὰρ ἐπιστήμη δοκεῖ τῶν παραμονίμων εἶναι καὶ δυσκινήτων, ἐὰν καὶ μετρίως τις ἐπιστήμην λάβῃ, ἐάνπερ μὴ μεγάλη μεταβολὴ γένηται ὑπὸ νόσου ἢ ἄλλου τινὸς τοιούτου· ὡσαύτως δὲ καὶ ἡ ἀρετή· οἷον ἡ δικαιοσύνη καὶ ἡ σωφροσύνη καὶ

8 ἐστι+ἀφωρισμένως B(Λ) ἐστιν+εὐθύς BΔ 10 εἴσεται om. n(Λ)PI: °φ 11–12 ἀκριβῶς εἴσεται B: °σ^{c} 14 prius δ᾽ ὅτι B(J)σ^{c}: [Λ] 14 et 15 ἀφωρισμένως B: °σ^{v}: [ΛPII'] 15 εἰδέναι] ἀναγκαῖον εἰδ. B: εἴσεται Δσ^{c} 20 ἐστι+ταῦτα B 21 περί] ὑπέρ B(a)φ: °σ^{v}: [T] 23 ἐφ᾽] περὶ φ: om. σ: [T] ἑκάστου Bφ: [T] 25 τινες+εἶναι B(φ): °πο^{c}η^{d}ο^{d} λεγόμεθα Λπ(η)ο^{c}: °φη^{c}σ^{d} 28 πολυχρονιώτερον εἶναι καὶ μονιμώτερον B: °ο 29 prius τε om. n(φ): [ΔΛPΓ] 30 ἐὰν+τε B: °οσ^{c}: [T] 33 tert. ἡ om. n: [T]

nenin daha güzel olduğunu bilince, bu yolla neden daha güzel olduğunu da tanımca bilmesi zorunlu olur (oysa nesnenin daha az güzel bir nesneden daha güzel olduğunu belirsiz biçimde bilmek yeterli olmayacak, çünkü bu bilgi değil, sanı olur. Bu durumda daha az güzel nesneden daha güzel nesne artık bilinmeyecektir, çünkü ondan daha az güzel olan hiçbir nesnenin olmaması da söz konusu olabilir). O halde birinin görelilerden olduğunu tanımca bildiği nesnenin neye göre olduğunu da tanımca bilmesi zorunlu, bu açık. Oysa baş, el ve varlık olan buna benzer nesnelerin her biri kendisi, olduğu nesne olarak tanımca bilinebilir ama, neye göre olduğunun söylenmesi zorunlu değil. Öyleyse bunlar görelilerden sayılmayabilir. Bunlar üzerinde birkaç kez sınama yapmadıkça kesin açıklamalar getirmek kuşkusuz güç, ama her biri üzerinde durmuş olmak da yararsız değil.

Nitelik dediğim, nesnelerin nasıl olduklarının ona göre söylendiği terim. Nitelik pek çok anlamda söylenenlerden: Bir türüne huy, yatkınlık adı verilebilir; huy yatkınlıktan daha kalıcı, daha uzun süreli olmakla ayrılır. Bilgilerle erdemler de böyle; edinilen bilgi az bile olsa hastalık ya da benzeri bir başka şey yüzünden büyük bir değişiklik olmadıkça bilginin kalıcı, zorlukla kaldırılabilenlerden olduğu görünüyor. Erdem de böyle; sözgelişi adalet, ölçülülük ve benzeri erdemlerden her

ἕκαστον τῶν τοιούτων οὐκ εὐκίνητον δοκεῖ εἶναι οὐδ' εὐ-
μετάβολον. διαθέσεις δὲ λέγονται ἃ ἐστιν εὐκίνητα καὶ ταχὺ
μεταβάλλοντα, οἷον θερμότης καὶ κατάψυξις καὶ νόσος
καὶ ὑγίεια καὶ ὅσα ἄλλα τοιαῦτα· διάκειται μὲν γάρ
πως κατὰ ταύτας ὁ ἄνθρωπος, ταχὺ δὲ μεταβάλλει ἐκ
θερμοῦ ψυχρὸς γιγνόμενος καὶ ἐκ τοῦ ὑγιαίνειν εἰς τὸ νο-
9a σεῖν· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, εἰ μή τις καὶ αὐ-
τῶν τούτων τυγχάνοι διὰ χρόνου πλῆθος ἤδη πεφυσιωμένη
καὶ ἀνίατος ἢ πάνυ δυσκίνητος οὖσα, ἣν ἄν τις ἴσως ἕξιν
ἤδη προσαγορεύοι. φανερὸν δὲ ὅτι ταῦτα βούλονται ἕξεις
λέγειν ἃ ἐστι πολυχρονιώτερα καὶ δυσκινητότερα· τοὺς γὰρ
τῶν ἐπιστημῶν μὴ πάνυ κατέχοντας ἀλλ' εὐκινήτους ὄντας
οὐ φαμεν ἕξιν ἔχειν, καίτοι διάκεινταί γέ πως κατὰ τὴν
ἐπιστήμην ἢ χεῖρον ἢ βέλτιον. ὥστε διαφέρει ἕξις διαθέσεως
τῷ τὸ μὲν εὐκίνητον εἶναι τὸ δὲ πολυχρονιώτερόν τε καὶ
δυσκινητότερον.—εἰσὶ δὲ αἱ μὲν ἕξεις καὶ διαθέσεις, αἱ δὲ
διαθέσεις οὐκ ἐξ ἀνάγκης ἕξεις· οἱ μὲν γὰρ ἕξεις ἔχοντες
καὶ διάκεινταί πως κατὰ ταύτας, οἱ δὲ διακείμενοι οὐ
πάντως καὶ ἕξιν ἔχουσιν.

Ἕτερον δὲ γένος ποιότητος καθ' ὃ πυκτικοὺς ἢ δρομι-
κοὺς ἢ ὑγιεινοὺς ἢ νοσώδεις λέγομεν, καὶ ἁπλῶς ὅσα
κατὰ δύναμιν φυσικὴν ἢ ἀδυναμίαν λέγεται. οὐ γὰρ τῷ
διακεῖσθαί πως ἕκαστον τῶν τοιούτων λέγεται, ἀλλὰ
τῷ δύναμιν ἔχειν φυσικὴν τοῦ ποιῆσαί τι ῥᾳδίως
ἢ μηδὲν πάσχειν· οἷον πυκτικοὶ ἢ δρομικοὶ λέγονται
οὐ τῷ διακεῖσθαί πως ἀλλὰ τῷ δύναμιν ἔχειν φυσικὴν
τοῦ ποιῆσαί τι ῥᾳδίως, ὑγιεινοὶ δὲ λέγονται τῷ δύναμιν

γενόμενος Δ : [ΛΠΓ] 9a2 τυγχάνει πσ(φ) : [Τ] 3 ἀνίατος] ἀκίνητος Π : φο ἴσως] ὡς ΠΔΛΠΓ : ἴσως ὡς σ1 om. Λ(φ) 4 προσ-αγορεύοι Βσ : -σῃ φ : [Τ] 12 διάκεινται + γέ Β : [Τ] 14 ποιότητος om. Γσ : αφοη δρομικοὺς . . . πυκτικοὺς σ(σ) : φη ἢ] καὶ Δ(σ) : φησ 17 διακεῖσθαί | γέ Π : αφοσσ : [Τ] τοιούτων + ποιόν σ : φ : [Γ] ἀλλὰ + μᾶλλον σ : σ 18 φυσικὴν + ἢ ἀδυναμίαν ΒΔ : φσσ 20 φυσικὴν om. ΛΓ(φ) : [Ι] 21 ῥᾳδίως + ἢ μηδὲν πάσχειν Β : φ δὲ] τε Β : παφ

birinin hiç de kolay atılamadığı, kolay değişmediği gö-
35 rülüyor. Oysa yatkınlık denenler kolayca kaldırılabilen,
çabucak değişebilen şeyler; sözgelişi sıcaklık, soğukluk,
hastalık, sağlık ve buna benzeyenler: İnsanın bunlara
belli bir yatkınlığı var, sıcakken soğuk sağlıklıyken has-
ta olup hemen değişiyor; ötekilerde de bu böyle. Ama
9a bunlardan biri uzun zaman nedeniyle doğal duruma ge-
lir, değişmez olur ya da çok güçlükle değişebilir hale
gelirse, o zaman huy diye adlandırılabilir. Daha zor ye-
rinden oynatılabilen, daha uzun süreli olanların huy di-
ye adlandırılmak istendiği açık; çünkü kimi bilgileri tam
5 anlamıyla değil, kolayca ellerinden gidebilecek biçimde
edinenlerin bunlara huy olarak sahip oldukları söylene-
mez, ama iyi kötü bilgiye belli yatkınlıkları vardır. O
halde huy yatkınlıktan, berikinin kolay yerinden oynatı-
labilir, ötekininse daha uzun süreli ve daha güçlükle ye-
rinden oynatılabilir olmasıyla ayrılıyor. Huylar aynı za-
10 manda yatkınlıklardır ama, yatkınlıkların huy olması zo-
runlu değil. Nitekim huy edinmiş olanlar onlara belli bir
biçimde zaten yatkın ama, yatkın olanlar her zaman huy
edinmiyorlar.

Niteliğin bir başka türü; koşucuların, boksörlerin,
15 güçlülerin ya da zayıfların, genelde belli bir olanak ya
da olanaksızlığa göre söylenenlerin, ona göre adlandırıl-
dığı nitelik. Bunların her birine bir şeye herhangi bir bi-
çimde yatkın olmaları nedeniyle değil, bir şeyi daha ko-
lay yapmak ya da hiçbir şeye dayanmamak açısından
doğal bir olanakları ya da olanaksızlıkları olmasından
ötürü bu adlar verilir. Sözgelişi boksörler ya da koşucu-
20 lar belli bir yatkınlıkları olduğundan ötürü değil, bir şe-
yi daha kolay yapmak açısından doğal bir olanakları ol-
duğu için bu adı alır; güçlüler doğal olarak rastgele şey-

ἔχειν φυσικὴν τοῦ μηδὲν πάσχειν ὑπὸ τῶν τυχόντων ῥᾳδίως, νοσώδεις δὲ τῷ ἀδυναμίαν ἔχειν τοῦ μηδὲν πάσχειν. ὁμοίως δὲ τούτοις καὶ τὸ σκληρὸν καὶ τὸ μαλακὸν ἔχει· τὸ μὲν γὰρ σκληρὸν λέγεται τῷ δύναμιν ἔχειν τοῦ μὴ ῥᾳδίως διαιρεῖσθαι, τὸ δὲ μαλακὸν τῷ ἀδυναμίαν ἔχειν τοῦ αὐτοῦ τούτου.

Τρίτον δὲ γένος ποιότητος παθητικαὶ ποιότητες καὶ πάθη· ἔστι δὲ τὰ τοιάδε οἷον γλυκύτης τε καὶ πικρότης καὶ στρυφνότης καὶ πάντα τὰ τούτοις συγγενῆ, ἔτι δὲ θερμότης καὶ ψυχρότης καὶ λευκότης καὶ μελανία. ὅτι μὲν οὖν αὗται ποιότητές εἰσιν φανερόν· τὰ γὰρ δεδεγμένα ποιὰ λέγεται κατ' αὐτάς· οἷον τὸ μέλι τῷ γλυκύτητα δεδέχθαι λέγεται γλυκύ, καὶ τὸ σῶμα λευκὸν τῇ λευκότητα δεδέχθαι· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἔχει. παθητικαὶ δὲ ποιότητες λέγονται οὐ τῷ αὐτὰ τὰ δεδεγμένα τὰς ποιότητας πεπονθέναι τι· οὔτε γὰρ τὸ μέλι τῷ πεπονθέναι τι λέγεται γλυκύ, οὔτε τῶν ἄλλων τῶν τοιούτων οὐδέν· ὁμοίως δὲ τούτοις καὶ ἡ θερμότης καὶ ἡ ψυχρότης παθητικαὶ ποιότητες λέγονται οὐ τῷ αὐτὰ τὰ δεδεγμένα πεπονθέναι τι, τῷ δὲ κατὰ τὰς αἰσθήσεις ἑκάστην τῶν εἰρημένων ποιοτήτων πάθους εἶναι ποιητικὴν παθητικαὶ ποιότητες λέγονται· ἥ τε γὰρ γλυκύτης πάθος τι κατὰ τὴν γεῦσιν ἐμποιεῖ καὶ ἡ θερμότης κατὰ τὴν ἁφήν, ὁμοίως δὲ καὶ αἱ ἄλλαι. λευκότης δὲ καὶ μελανία καὶ αἱ ἄλλαι χροιαὶ οὐ τὸν αὐτὸν τρόπον τοῖς εἰρημένοις παθητικαὶ ποιότητες λέγονται, ἀλλὰ τῷ αὐτὰς ἀπό πάθους γεγενῆσθαι. ὅτι μὲν οὖν γίγνονται διὰ πάθος πολλαὶ μεταβολαὶ χρωμάτων, δῆλον· αἰσχυνθεὶς γάρ τις ἐρυθρὸς ἐγένετο καὶ φοβηθεὶς

22 ῥᾳδίως om. $\Lambda(\phi^c)$: $^*\pi$ 23 ἔχειν | φυσικὴν $\Pi\mathrm{J}\phi^c$ 24 πάσχειν + ῥᾳδίως B: + ῥᾳδίως ὑπὸ τῶν τυχόντων n$P\phi^c$ 25 et 26 τῷ] τὸ B 29–30 καὶ πικρότης om. Γ: καὶ στρυφνότης om. $\Delta\Lambda$ 30 δὲ + καὶ $P\Gamma$: $[\Delta\Lambda\Pi]$ 32 δεδεγμένα + αὐτὰ $(\Delta)\Lambda$ 33 κατὰ ταύτας n: [T] 34 γλυκὺ λέγεται B$\Delta\Gamma$: $^*\sigma^c$: [ΛPI] 35 δὲ om. n: [$\Delta\Lambda$] 9^b4 ποιότητες om. n(Λ) 11 γεγονέναι Bo: $^*\sigma^c$: [T]

lerden kolay etkilenmeme olanakları olduğundan, zayıflar ise hiçbir şeye dayanamama konusunda doğal bir olanaksızlıkları olmasından ötürü bu adı alırlar. Katıyla yumuşak da bunlara benziyor: Katı bölünmeme açısından doğal bir olanağı olması nedeniyle, yumuşak ise bu açıdan doğal bir olanaksızlığı olmasından ötürü bu adı alıyor.

Niteliğin bir üçüncü cinsi, duyularla ilgili nitelikler ve duygulanımlar. Sözgelişi tatlılık, acılık, ekşilik ve bunlarla aynı cinsten olanlar; bir de sıcaklık, soğukluk, aklık, karalık: Bunların hepsinin nitelik olduğu açık, bunları üstlenen nesnelerin nasıl oldukları onlara göre söylenir. Sözgelişi bala tatlılığından ötürü tatlı, cisme aklığı üstlenmesinden ötürü ak denir. Ötekilerde de bu böyle. Duyularla ilgili nitelikler, kendileri nitelikleri üstlenerek bir değişmeye uğramaları nedeniyle bu adı al-
9b mazlar. Nitekim bala bir değişmeye uğradığından ötürü tatlı denmez, benzeri öteki şeylerde de bu böyledir. Aynı biçimde sıcaklık, soğukluk kendileri bir değişikliğe uğradıkları için duyularla ilgili nitelik adını almaz; söylediğimiz niteliklerden her biri duyulara göre, bir duygunun niteliği olduğundan ötürü duyularla ilgili nitelik adını alır. Nitekim tatlılık tad alma duyusuna göre belli bir duygu yaratır, sıcak dokunma duyusuna göre; ötekilerde de durum aynı. Oysa aklık, karalık ve öteki renkler bu söylediklerimizle aynı biçimde 'duyularla ilgili nitelik' adını almazlar; kendileri bir duyudan meydana geldikleri için bu adı alırlar. Bir duygulanımdan ötürü pek çok renk değişikliği olduğu açık: Utanan kızarır,

ὠχρὸς καὶ ἕκαστον τῶν τοιούτων· ὥστε καὶ εἴ τις φύσει τῶν τοιούτων τι παθῶν πέπονθεν, τὴν ὁμοίαν χροιὰν εἰκός ἐστιν ἔχειν αὐτόν· ἤτις γὰρ νῦν ἐν τῷ αἰσχυνθῆναι διάθεσις τῶν περὶ τὸ σῶμα ἐγένετο, καὶ κατὰ φυσικὴν σύστασιν ἡ αὐτὴ γένοιτ' ἂν διάθεσις, ὥστε φύσει καὶ τὴν χροιὰν ὁμοίαν γίγνεσθαι.—ὅσα μὲν οὖν τῶν τοιούτων συμπτωμάτων ἀπό τινων παθῶν δυσκινήτων καὶ παραμονίμων τὴν ἀρχὴν εἴληφε ποιότητες λέγονται· εἴτε γὰρ ἐν τῇ κατὰ φύσιν συστάσει ὠχρότης ἢ μελανία γεγένηται, ποιότης λέγεται, —ποιοὶ γὰρ κατὰ ταύτας λεγόμεθα,— εἴτε διὰ νόσον μακρὰν ἢ διὰ καῦμα [τὸ αὐτὸ] συμβέβηκεν ὠχρότης ἢ μελανία, καὶ μὴ ῥᾳδίως ἀποκαθίστανται ἢ καὶ διὰ βίου παραμένουσι, ποιότητες καὶ αὐταὶ λέγονται, —ὁμοίως γὰρ ποιοὶ κατὰ ταύτας λεγόμεθα.— ὅσα δὲ ἀπὸ ῥᾳδίως διαλυομένων καὶ ταχὺ ἀποκαθισταμένων γίγνεται πάθη λέγεται· οὐ γὰρ λέγονται ποιοί τινες κατὰ ταῦτα· οὔτε γὰρ ὁ ἐρυθριῶν διὰ τὸ αἰσχυνθῆναι ἐρυθρίας λέγεται, οὔτε ὁ ὠχριῶν διὰ τὸ φοβεῖσθαι ὠχρίας, ἀλλὰ μᾶλλον πεπονθέναι τι· ὥστε πάθη μὲν τὰ τοιαῦτα λέγεται, ποιότητες δὲ οὔ.—ὁμοίως δὲ τούτοις καὶ κατὰ τὴν ψυχὴν παθητικαὶ ποιότητες καὶ πάθη λέγεται. ὅσα τε γὰρ ἐν τῇ γενέσει εὐθὺς ἀπό τινων παθῶν γεγένηται ποιότητες λέγονται, οἷον ἥ τε μανικὴ
10a ἔκστασις καὶ ἡ ὀργὴ καὶ τὰ τοιαῦτα· ποιοὶ γὰρ κατὰ ταύτας λέγονται, ὀργίλοι τε καὶ μανικοί. ὁμοίως δὲ καὶ ὅσαι ἐκστάσεις μὴ φυσικαί, ἀλλ' ἀπό τινων ἄλλων συμπτωμάτων

15 τι+συμπτωμάτων ἢ n πέπονθεν+ἐκ τινῶν φυσικῶν συμπτωμάτων BΔ 16 αὐτὸν ἔχειν ἐστίν n: [Λ] 18 διάθεσις om. B 21 εἴληφε+παθητικαί (Λ),?σ' 23 ποιότητες λέγονται BΔΓ 24 τὸ αὐτό] τοῦτο I: τὸ αὐτὸ τοῦτο B: τὸ τοιοῦτο Δ: om. Λ 27 γὰρ om. PΓ: °αφη 30 ταύτας B: [T] 31 φοβηθῆναι B: [T] 32 τῷ πεπονθέναι BI,?Λ 34 λέγονται n(φη: [T] 35 τε] μὲν B: om. (α): °φη: [T] παθῶν+δυσκινήτων φ: °η 36 γεγένηται n(φ)η: [T] 10a2 λέγονται+οἷον n,?ΛI ὅσαι] ἄλλαι η: ὅσαι ἄλλαι (α)φ

korkan sararır, buna benzeyen öteki şeylerde de bu böyledir. Demek ki biri doğal olarak bu duygulanımlardan birine uğradığında aynı rengi alması olağan. Nitekim utanıldığında bedensel şeylerde meydana gelen yatkınlık, doğal bir yapıya göre, doğa gereği aynı rengi oluşturacak bir yatkınlık olacaktır. Bu nedenle başlangıcını güçlükle değişebilen, kalıcı duygulanımlardan almış olan değişikliklere nitelik adı verilir. Yani doğal yapıda bir sarılık ya da karalık oluştuğunda böyle değişikliklere nitelik denir –nitekim nasıl olduğumuz bunlara göre söylenir–; uzun süreli bir hastalık ya da yanma yüzünden zorlukla giderilebilen ya da yaşam boyu kalan sarılık ya da karalık meydana geldiğinde de bunlara nitelik denir –çünkü yine, nasıl olduğumuz onlara göre söylenir–. Buna karşı, kolayca yok edilebilen, çabucak giderilebilenlenden meydana gelmişlerse duygulanım denir. Çünkü nasıl olunduğu onlara göre söylenmez: Nitekim utandığı için kızarana 'kırmızı', korktuğu için sararana 'sarı' denmez, daha çok bir duygulanıma uğradığı söylenir. O halde bunlar nitelik değil, duygulanım. Bunlara benzer biçimde ruh için de duyularla ilgili niteliklerden ve duygulanımlardan söz edilebilir. Doğrudan doğuştan kimi etkilenmelerden meydana gelenlere nitelik denir; **10[a]** sözgelişi delilik, öfkelilik durumu ve benzeri durumlar böyle; çünkü delilerin ve öfkelilerin nasıl oldukları bunlara göre söylenir. Doğuştan değil, başka nedenlerle meydana gelip de güçlükle giderilebilen ya da hepten

γεγένηνται δυσαπάλλακτοι ἢ καὶ ὅλως ἀκίνητοι, ποιότητες καὶ τὰ τοιαῦτα· ποιοὶ γὰρ κατὰ ταύτας λέγονται. ὅσα δὲ ἀπὸ ταχὺ καθισταμένων γίγνεται πάθη λέγεται, οἷον εἰ λυπούμενος ὀργιλώτερός ἐστιν· οὐ γὰρ λέγεται ὀργίλος ὁ ἐν τῷ τοιούτῳ πάθει ὀργιλώτερος ὤν, ἀλλὰ μᾶλλον πεπονθέναι τι· ὥστε πάθη μὲν λέγεται τὰ τοιαῦτα, ποιότητες δὲ οὔ.

Τέταρτον δὲ γένος ποιότητος σχῆμά τε καὶ ἡ περὶ ἕκαστον ὑπάρχουσα μορφή, ἔτι δὲ πρὸς τούτοις εὐθύτης καὶ καμπυλότης καὶ εἴ τι τούτοις ὁμοιόν ἐστιν· καθ' ἕκαστον γὰρ τούτων ποιόν τι λέγεται· τῷ γὰρ τρίγωνον ἢ τετράγωνον εἶναι ποιόν τι λέγεται, καὶ τῷ εὐθὺ ἢ καμπύλον. καὶ κατὰ τὴν μορφὴν δὲ ἕκαστον ποιόν τι λέγεται. τὸ δὲ μανὸν καὶ τὸ πυκνὸν καὶ τὸ τραχὺ καὶ τὸ λεῖον δύξειε μὲν ἂν ποιὸν σημαίνειν, ἔοικε δὲ ἀλλότρια τὰ τοιαῦτα εἶναι τῆς περὶ τὸ ποιὸν διαιρέσεως· θέσιν γάρ τινα μᾶλλον φαίνεται τῶν μορίων ἑκάτερον δηλοῦν· πυκνὸν μὲν γὰρ τῷ τὰ μόρια σύνεγγυς εἶναι ἀλλήλοις, μανὸν δὲ τῷ διεστάναι ἀπ' ἀλλήλων· καὶ λεῖον μὲν τῷ ἐπ' εὐθείας πως τὰ μόρια κεῖσθαι, τραχὺ δὲ τῷ τὸ μὲν ὑπερέχειν τὸ δὲ ἐλλείπειν.— ἴσως μὲν οὖν καὶ ἄλλος ἄν τις φανείη τρόπος ποιότητος, ἀλλ' οἵ γε μάλιστα λεγόμενοι σχεδὸν τοσοῦτοί εἰσιν.

Ποιότητες μὲν οὖν εἰσὶν αἱ εἰρημέναι, ποιὰ δὲ τὰ κατὰ ταύτας παρωνύμως λεγόμενα ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτῶν. ἐπὶ μὲν οὖν τῶν πλείστων καὶ σχεδὸν ἐπὶ πάντων παρωνύμως λέγεται, οἷον ἀπὸ τῆς λευκότητος ὁ λευκὸς καὶ ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικὸς καὶ ἀπὸ τῆς δικαιοσύνης ὁ

4 ἄλλως B 5 τοιαῦτα + λέγεται *Λ1* λέγονται + ὀργίλοι τε καὶ μανικοί *lI* 7 λυπούμενος + τις *Δ.Λ* 12 εὐθύτης | τε *Iη*: •ϕ: [*J.IPΓ*] 13 τι + ἄλλο nσ^{c}: •ϕ 14–15 τῷ bis] τὸ B(*Λ*): [*P*] 15 ἢ] καὶ *ΔΛ* καμπύλον + εἶναι B*Δ* 16 τι om. nΓ(*Λ*) 17 τὸ ter om. n: •ϕ: [*T*] 18 ποιὸν + τι nBϕ: [*Λ*] 19 μᾶλλόν τινα B: •ϕ: [*T*] 25 τις om. Γσ^{c}: •αϕο: [*Λ*] 26 τοιοῦτοι ο,?*PΓ*: οὗτοι *Δϕ*,?*Λ* 28 ἄλλως om. *Δ*(*Λ*)*IΓπ*(σ^{c}): •ο 30–1 ὁ ter om. B: •ο: [*ΛPIΓ*]

kalıcı olanlara da nitelik denir; çünkü nasıl olunduğu onlara göre söylenir. Ama hızla değişen, geçici şeylerden oluşanlara duygulanım denir: Sözgelişi üzüntülü olduğunda daha öfkeli olan biri. Böyle bir durum içinde bulunan kişiye, daha öfkeli bir kişi olduğu için değil, bir duygulanım içinde bulunduğundan daha öfkeli denir. Demek ki bunlar nitelik değil, duygulanım.

Niteliğin dördüncü cinsi, geometrik şekille her nesnede bulunan biçim; bir de doğruluk, eğrilik vb.; çünkü bir nesnenin nasıl olduğu bunlara göre söylenir: Bir nesnenin üç ya da dört köşeli olmak bakımından nasıl olduğu söylenir, düz ya da eğri olması açısından da. Şekline göre de bir nesnenin nasıl olduğu söylenir; seyreklik, sıklık, pürüzlülük ve düzlük de bir nitelik gösterirmiş gibi gelebilirler ama, bunlar nitelik çeşitlerinin dışında şeyler. Bunlar daha çok parçaların her birinin belli bir durumunu ortaya koyar: Nesne, parçalarının birbirine yakın olmasından ötürü 'sık', birbirinden uzak olmasından ötürü 'seyrek'; parçalarının belli bir biçimde düz bir çizgide dizilmiş olmasıyla 'düz', parçalarının kimi aşağıda kimi yukarıda olmasıyla 'pürüzlü'dür. Başka nitelik türleri de olabilir ama, asıl rastlananlar bu söylediklerimiz.

Demek ki nitelikler bu söylediklerimiz, nasıllıklarsa ya bunlardan türetilerek söylenir ya da bir başka biçimde onlardan çıkarılır. Çoğunda, hatta hemen hepsinde nasıllık türetilerek söylenir; sözgelişi aklıktan ak, dilbiliminden dilbilimci, doğruluktan doğru. Ötekilerde de

δίκαιος, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐπ' ἐνίων δὲ διὰ τὸ μὴ κεῖσθαι ταῖς ποιότησιν ὀνόματα οὐκ ἐνδέχεται παρωνύμως ἀπ' αὐτῶν λέγεσθαι· οἷον ὁ δρομικὸς ἢ ὁ πυκτικὸς ὁ κατὰ δύναμιν φυσικὴν λεγόμενος ἀπ' οὐδεμιᾶς ποιότητος
10b παρωνύμως λέγεται· οὐ γὰρ κεῖται ὀνόματα ταῖς δυνάμεσι καθ' ἃς οὗτοι ποιοὶ λέγονται, ὥσπερ καὶ ταῖς ἐπιστήμαις καθ' ἃς πυκτικοὶ ἢ παλαιστρικοὶ οἱ κατὰ διάθεσιν λέγονται, –πυκτικὴ γὰρ ἐπιστήμη λέγεται καὶ παλαιστρική, ποιοὶ δὲ ἀπὸ
5 τούτων παρωνύμως οἱ διακείμενοι λέγονται.– ἐνίοτε δὲ καὶ ὀνόματος κειμένου οὐ λέγεται παρωνύμως τὸ κατ' αὐτὴν ποιὸν λεγόμενον, οἷον ἀπὸ τῆς ἀρετῆς ὁ σπουδαῖος· τῷ γὰρ ἀρετὴν ἔχειν σπουδαῖος λέγεται, ἀλλ' οὐ παρωνύμως ἀπὸ τῆς ἀρετῆς· οὐκ ἐπὶ πολλῶν δὲ τὸ τοιοῦτόν ἐστιν. ποιὰ οὖν
10 λέγεται τὰ παρωνύμως ἀπὸ τῶν εἰρημένων ποιοτήτων λεγόμενα ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτῶν.

Ὑπάρχει δὲ καὶ ἐναντιότης κατὰ τὸ ποιόν, οἷον δικαιοσύνη ἀδικίᾳ ἐναντίον καὶ λευκότης μελανίᾳ καὶ τἆλλα ὡσαύτως, καὶ τὰ κατ' αὐτὰς δὲ ποιὰ λεγόμενα, οἷον τὸ
15 ἄδικον τῷ δικαίῳ καὶ τὸ λευκὸν τῷ μέλανι. οὐκ ἐπὶ πάντων δὲ τὸ τοιοῦτον· τῷ γὰρ πυρρῷ ἢ ὠχρῷ ἢ ταῖς τοιαύταις χροιαῖς οὐδέν ἐστιν ἐναντίον ποιοῖς οὖσιν.—ἔτι ἐὰν τῶν ἐναντίων θάτερον ᾖ ποιόν, καὶ τὸ λοιπὸν ἔσται ποιόν. τοῦτο δὲ δῆλον προχειριζομένῳ τὰς ἄλλας κατηγορίας, οἷον εἰ ἔστιν
20 ἡ δικαιοσύνη τῇ ἀδικίᾳ ἐναντίον, ποιὸν δὲ ἡ δικαιοσύνη, ποιὸν ἄρα καὶ ἡ ἀδικία· οὐδεμία γὰρ τῶν ἄλλων κατηγοριῶν ἐφαρμόζει τῇ ἀδικίᾳ, οὔτε ποσὸν οὔτε πρός τι

33 ἐνδέχεται+τὰ λεγόμενα n: °o 34 ὁ bis om. B: [ΛΡΙΓ] 35 φύσει n 10b1 ὄνομα nA διυνάμεσι+ταύταις ΛΡ 2 καὶ om. B: [I'II'] 3 οἱ om. B: [ΛΡ] 4 λέγεται ἐπιστήμη B: [T] 9 οὖν] τοίνυν B: °σ: [T] 10 παρωνύμως τὰ B: °σ: [P] 11 ὁπωσοῦν ἄλλως] ὅπως n: °σ 12 ἡ δικαιοσύνη n: °φοσ°: [T] 14 δὲ ante ὡσαύτως pos. B: [ΔΛΡΓ] κατὰ ταύτας B: [T] 16 τοιοῦτον+συμβαίνει n 17 ἐστιν om. B ἔτι+δὲ B: °φη: [ΔΛΡ] 19 δῆλον+ἐκ τῶν καθ' ἕκαστα Pϕ 21 ἄρα om. nIΓ 22 ἐφαρμόσει nBI τὸ ποσὸν . . . τὸ πρός BΓ,lΔ: [ΛΡΙ]

bu böyle. Ama kimi durumlarda niteliklerin bir adı olmamasından ötürü onlardan türetilerek söylenemez; sözgelişi bir doğal olanağa göre adlandırılan koşucu ya da boksör hiçbir nitelikten türetilerek söylenmez. Çünkü
10b bunların nasıllıklarının ona göre söylendiği olanağın adı yok, onlara göre kişilerin bir yatkınlık açısından boksör ya da koşucu diye adlandırıldıkları bilimlerin adı var – boksörlük bilimi, koşuculuk bilimi var–; bunlara yatkın olanlar da onlardan türetilerek söyleniyor. Kimi kez ise bir adı bulunmasına karşın, nasıllık [Yunanca'da] o nitelikten türetilmez; sözgelişi erdemden 'ciddi adam = erdemli'; erdemli olmasından ötürü kişiye 'ciddi' denir ama bu ad erdemden türetilmemektedir. Ancak böyle olanlar çok değil. Demek ki nasıllıklar sözünü ettiğimiz niteliklerden türetilerek söylenir ya da bir başka biçimde onlardan çıkarılır.

Nitelikte karşıtlık bulunur; sözgelişi doğruluk eğriliğe, aklık karalığa karşıt; ötekilerde ya da onlara göre söylenen nasıllıklarda da bu böyle, sözgelişi doğru eğriye, ak karaya karşıt. Ama hepsinde bu böyle değil: Nasıllık olmalarına karşın kızıla, sarıya ya da öteki renklere hiçbir karşıt yok. Öte yandan karşıt olanlardan biri bir nasıllıksa öteki de bir nasıllık olacaktır. Öteki yüklemeleri sınarsak bu açıklık kazanacak: Sözgelişi doğruluk eğriliğe karşıtsa ve doğruluk bir nasıllıksa, eğrilik de bir nasıllık; nitekim öteki yüklemelerden hiçbiri eğri-

οὔτε πού, οὐδ' ὅλως τι τῶν τοιούτων οὐδὲν ἀλλ' ἢ ποιόν· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων κατὰ τὸ ποιὸν ἐναντίων.

Ἐπιδέχεται δὲ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον τὰ ποιά· λευκὸν γὰρ μᾶλλον καὶ ἧττον ἕτερον ἑτέρου λέγεται, καὶ δίκαιον ἕτερον ἑτέρου μᾶλλον. καὶ αὐτὸ δὲ ἐπίδοσιν λαμβάνει, –λευκὸν γὰρ ὂν ἔτι ἐνδέχεται λευκότερον γενέσθαι– οὐ πάντα δέ, ἀλλὰ τὰ πλεῖστα· δικαιοσύνη γὰρ δικαιοσύνης εἰ λέγεται μᾶλλον ἀπορήσειεν ἄν τις, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων διαθέσεων. ἔνιοι γὰρ διαμφισβητοῦσι περὶ τῶν τοιούτων· δικαιοσύνην μὲν γὰρ δικαιοσύνης οὐ πάνυ φασὶ μᾶλλον καὶ ἧττον λέγεσθαι, οὐδὲ ὑγίειαν ὑγιείας, ἧττον μέντοι ἔχειν ἕτερον ἑτέρου ὑγιείαν φασι, καὶ δικαιοσύνην ἧττον ἕτερον ἑτέρου, ὡσαύτως δὲ καὶ γραμματικὴν καὶ τὰς ἄλλας διαθέσεις. ἀλλ' οὖν τά γε κατὰ ταύτας λεγόμενα ἀναμφισβητήτως ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον· γραμματικώτερος γὰρ ἕτερος ἑτέρου λέγεται καὶ δικαιότερος καὶ ὑγιεινότερος, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. τρίγωνον δὲ καὶ τετράγωνον οὐ δοκεῖ τὸ μᾶλλον ἐπιδέχεσθαι, οὐδὲ τῶν ἄλλων σχημάτων οὐδέν· τὰ μὲν γὰρ ἐπιδεχόμενα τὸν τοῦ τριγώνου λόγον καὶ τὸν τοῦ κύκλου πάνθ' ὁμοίως τρίγωνα ἢ κύκλοι εἰσίν, τῶν δὲ μὴ ἐπιδεχομένων οὐδὲν ἕτερον ἑτέρου μᾶλλον ῥηθήσεται· οὐδὲν γὰρ μᾶλλον τὸ τετράγωνον τοῦ ἑτε-

25 30 35 11a 5 10

23 τὸ ποὺ ἸΔP: [ΛΙΓ] τι om. n: [T] τὸ ποιόν Γ,ἸΔ: [ΛPI] 24 ἄλλων+τῶν Bσ: [T] 27 καὶ ἧττον om. B: *ϕ 28 ἑτέρου+λέγεται B,ἸΛ: [P] μᾶλλον (ante ἕτερον pos. B)+καὶ ἧττον ΔΛ: [P] 29 ἔτι om. ΛPIΓ 31 λέγοιτο B: *ϕσc: [T] μᾶλλον+καὶ ἧττον nIϕ: *σc 32 ἀμφισβητοῦσιν n,ἸΠ: [T] 33 δικαιοσύνην] -νη nH: [PII'] 34 φασὶ | δεῖν H λέγεσθαι μᾶλλον καὶ ἧττον BΔI 35 φασι om. B 11a1 alt. ἧττον om. B ἑτέρου+ἔχειν nΛΓ 2 λεγόμενα+ποιὰ ΔΛσc 3 καὶ ἧττον om. (Δ)Γσc 4–5 ὑγιεινότερος καὶ δικαιότερος BΔ: *σc 6 μᾶλλον+καὶ (+τὸ Δο) ἧττον ΔΛϕο: *σc: [P] 8 καὶ] ἢ B: *π: [P] τὸν om. nΔΓ: [ΛP] 9–10 ἕτερον ἑτέρου post μᾶλλον pos. Bϕ: *π: [ΛP]

liğe uymaz, ne nicelik, ne görelik, ne uzay, ne de ötekilerden biri. Ama nasıllık uyar. Nasıllık açısından karşıt olan ötekilerde de durum aynı.

Nasıllık azlık ya da çokluğu kabul eder. Ak için, biri ötekinden daha çok ya da daha az ak denir; biri ötekinden daha doğru da denir; ayrıca nasıllık artmayı da kabul eder –nitekim ak olan daha ak olmayı da kabul eder–. Ama bu hepsinde değil, çoğunda böyle. Bir doğruluğun bir başka doğruluktan daha çok doğruluk olup olamayacağı tartışılabilir. Ötekilerde de bu böyle. Kimileri bunlar üzerinde tartışıyor, bir doğruluğun bir başka doğruluktan, bir sağlığın bir başka sağlıktan daha az ya da daha çok olarak söylenmediğini savunuyorlar. Oysa birinin sağlığının bir başkasınınkinden, birinin doğru-
11[a] ğunun bir başkasınınkinden daha az olduğu söylenir. Bilgili ile ötekilerde de bu böyle. O halde bunlara göre söylenenler daha azlığı ya da daha çokluğu tartışmasız biçimde kabul ederler. Birine bir başkasından daha çok bilgili denir: Daha doğru, daha sağlıklı denir. Benzerlerinde de bu böyle. Oysa üçgen, dörtgen ve öteki geometrik şekillerin hiçbirinin daha çokluğu kabul etmediği görünüyor. Üçgen ya da daire tanımına uyan nesnelerin hepsi aynı biçimde üçgen ya da daire; bu tanımlara uymayanlarsa hiçbiri ötekinden daha çok öyle olmaz: Nitekim dikdörtgen kareden hiç de daha çok daire değil,

ρομήκους κύκλος ἐστίν· οὐδέτερον γὰρ ἐπιδέχεται τὸν τοῦ κύκλου λόγον. ἁπλῶς δέ, ἐὰν μὴ ἐπιδέχηται ἀμφότερα τὸν τοῦ προκειμένου λόγον, οὐ ῥηθήσεται τὸ ἕτερον τοῦ ἑτέρου μᾶλλον. οὐ πάντα οὖν τὰ ποιὰ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον.

15 Τῶν μὲν οὖν εἰρημένων οὐδὲν ἴδιον ποιότητος, ὅμοια δὲ καὶ ἀνόμοια κατὰ μόνας τὰς ποιότητας λέγεται· ὅμοιον γὰρ ἕτερον ἑτέρῳ οὐκ ἔστι κατ' ἄλλο οὐδὲν ἢ καθ' ὃ ποιόν ἐστιν. ὥστε ἴδιον ἂν εἴη ποιότητος τὸ ὅμοιον ἢ ἀνόμοιον λέγεσθαι κατ' αὐτήν.

20 Οὐ δεῖ δὲ ταράττεσθαι μή τις ἡμᾶς φήσῃ ὑπὲρ ποιότητος τὴν πρόθεσιν ποιησαμένους πολλὰ τῶν πρός τι συγκαταριθμεῖσθαι· τὰς γὰρ ἕξεις καὶ τὰς διαθέσεις τῶν πρός τι εἶναι. σχεδὸν γὰρ ἐπὶ πάντων τῶν τοιούτων τὰ γένη πρός τι λέγεται, τῶν δὲ καθ' ἕκαστα οὐδέν· ἡ μὲν γὰρ ἐπι-
25 στήμη, γένος οὖσα, αὐτὸ ὅπερ ἐστὶν ἑτέρου λέγεται, –τινὸς γὰρ ἐπιστήμη λέγεται.– τῶν δὲ καθ' ἕκαστα οὐδὲν αὐτὸ ὅπερ ἐστὶν ἑτέρου λέγεται, οἷον ἡ γραμματικὴ οὐ λέγεται τινὸς γραμματικὴ οὐδ' ἡ μουσικὴ τινὸς μουσική, ἀλλ' εἰ ἄρα κατὰ τὸ γένος καὶ αὗται πρός τι λέγεται· οἷον ἡ γραμ-
30 ματικὴ λέγεται τινὸς ἐπιστήμη, οὐ τινὸς γραμματική, καὶ ἡ μουσικὴ τινὸς ἐπιστήμη, οὐ τινὸς μουσική· ὥστε αἱ καθ' ἕκαστα οὐκ εἰσὶ τῶν πρός τι. λεγόμεθα δὲ ποιοὶ ταῖς καθ' ἕκαστα· ταύτας γὰρ καὶ ἔχομεν, –ἐπιστήμονες γὰρ λεγόμεθα τῷ ἔχειν τῶν καθ' ἕκαστα ἐπιστημῶν τινά·– ὥστε
35 αὗται ἂν καὶ ποιότητες εἶησαν αἱ καθ' ἕκαστα, καθ' ἃς ποτε καὶ ποιοὶ λεγόμεθα· αὗται δὲ οὐκ εἰσὶ τῶν πρός τι.—

11 ἔσται n : °π 14 ἐπιδέχεται (τὰ ʾom.) ποιὰ nΔ : [ΛΡΙΓ] alt. τό om. nΓ : [ΛΡ] 16 καὶ] ἢ nΓ : °φ 18 τῆς ποιότητος Bᵉ°¹ : °σ¹ : [Τ] ἢ] καὶ BΛΡσᶜ : °σ : [Δ] 20 φήσει B : °φ : [Τ] 22 alt. τὰς om. B : [Τ] 23 εἶναι] ἐλέγομεν εἶν. B : εἶν. ἐλέγ. ΛΙ πασῶν τῶν ποιοτήτων (φ) 24 ἕκαστον n : °φ : [Τ] μὲν om. Ι : [ΔΛ] 26 δὲ + γε n : [Τ] 29 αὗται + τῶν BΔΡ : [Λ] 31 ἐπιστήμη + λέγεται BΔ 32 αἱ om. n : [Λ] 34 τινάς Ι : [ΛΡ] 36 ποτε om. nΛΙ

çünkü dairenin tanımı hiçbirine uymaz. Demek ki genelde ilk terimin tanımını her ikisi de kabul etmiyorsa, biri ötekinden daha çok odur denmeyecek. Sonuç olarak, nasıllıkların hepsi daha çokluğu ya da daha azlığı kabul etmeyecek.

Söylediklerimizden hiçbiri niteliğe özgü bir şey değil, ama benzerlikle benzemezlik yalnızca nitelikler için söylenir. Nitekim bir nesnenin bir nesneye benzer olması ona göre bir nasıllık olmasından başka hiçbir şey için söz konusu olmaz.

Nitelik üzerinde konuşurken, pek çok göreliyi de bunlar arasında saymış olduğumuz söylenirse şaşacak bir şey yok. Çünkü huylarla yatkınlıkların görelilerden olduğunu söylemiştik. Bunlardan hemen hepsinde cinsler bir nesneye göre söylenir ama tek tek alındıkta hiçbiri bir nesneye göre söylenmez. Bir cins olan bilgiye, kendi başına bir şey olarak, bir başka *nesnenin* denir; nitekim bir nesnenin bilgisi denir ama, tek tek alındıkta hiçbiri, kendi başına bir şey olarak bir başka *nesnenin* denmez. Örneğin dilbilimine bir şeyin dilbilimi, musikiye bir şeyin musikisi denmez. Ama cins olarak bunlar da bir şeye göre söylenir: Dilbilimine bir şeyin dilbilimi değil, bir şeyin bilimi; musikiye bir şeyin musikisi değil, bir nesnenin bilimi denir. Demek tek tek alındıklarında görelilerden değiller. Ama tek tek onlara göre nasıl olduğumuz söylenir; çünkü bunlara sahip oluyoruz –herhangi bir bilgiye sahip olunca 'bilgili' adını alıyoruz–. O halde bunlar tek tek nesneler için kendilerine göre nasıl olduğumuz söylenen nitelikler olabilir, görelilerden de-

ἔτι εἰ τυγχάνει τὸ αὐτὸ ποιὸν καὶ πρός τι ὄν, οὐδὲν ἄτοπον ἐν ἀμφοτέροις τοῖς γένεσιν αὐτὸ καταριθμεῖσθαι.

⟨. . . . . .⟩

9 Ἐπιδέχεται δὲ καὶ τὸ ποιεῖν καὶ πάσχειν ἐναντιό- 11ᵇ
τητα καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον· τὸ γὰρ θερμαίνειν
τῷ ψύχειν ἐναντίον καὶ τὸ θερμαίνεσθαι τῷ ψύχεσθαι καὶ
τὸ ἥδεσθαι τῷ λυπεῖσθαι· ὥστε ἐπιδέχεται ἐναντιότητα. καὶ
τὸ μᾶλλον δὲ καὶ τὸ ἧττον· θερμαίνειν γὰρ μᾶλλον καὶ ἧτ- 5
τον ἔστι, καὶ θερμαίνεσθαι μᾶλλον καὶ ἧττον, καὶ λυπεῖσθαι
μᾶλλον καὶ ἧττον· ἐπιδέχεται οὖν τὸ μᾶλλον καὶ τὸ ἧττον
τὸ ποιεῖν καὶ τὸ πάσχειν.

⟨. . . . . .⟩

[Ὑπὲρ μὲν οὖν τούτων τοσαῦτα λέγεται· εἴρηται δὲ καὶ ὑπὲρ τοῦ κεῖσθαι 10
ἐν τοῖς πρός τι, ὅτι παρωνύμως ἀπὸ τῶν θέσεων λέγεται. ὑπὲρ δὲ τῶν λοιπῶν,
τοῦ τε ποτὲ καὶ τοῦ ποῦ καὶ τοῦ ἔχειν, διὰ τὸ προφανῆ εἶναι οὐδὲν ὑπὲρ
αὐτῶν ἄλλο λέγεται ἢ ὅσα ἐν ἀρχῇ ἐρρήθη, ὅτι τὸ ἔχειν μὲν σημαίνει τὸ
ὑποδεδέσθαι, τὸ ὠπλίσθαι, τὸ δὲ ποῦ οἷον ἐν Λυκείῳ, καὶ τὰ ἄλλα δὲ ὅσα
10 ὑπὲρ αὐτῶν ἐρρήθη.—ὑπὲρ μὲν οὖν τῶν προτεθέντων γενῶν ἱκανὰ τὰ εἰρη- 15
μένα· περὶ δὲ τῶν ἀντικειμένων, ποσαχῶς εἴωθε ἀντιτίθεσθαι, ῥητέον.]

Λέγεται δὲ ἕτερον ἑτέρῳ ἀντικεῖσθαι τετραχῶς, ἢ
ὡς τὰ πρός τι, ἢ ὡς τὰ ἐναντία, ἢ ὡς στέρησις καὶ ἕξις,
ἢ ὡς κατάφασις καὶ ἀπόφασις. ἀντίκειται δὲ ἕκαστον τῶν
τοιούτων, ὡς τύπῳ εἰπεῖν, ὡς μὲν τὰ πρός τι οἷον τὸ διπλά- 20
σιον τῷ ἡμίσει, ὡς δὲ τὰ ἐναντία οἷον τὸ κακὸν τῷ ἀγαθῷ,
ὡς δὲ κατὰ στέρησιν καὶ ἕξιν οἷον τυφλότης καὶ ὄψις,
ὡς δὲ κατάφασις καὶ ἀπόφασις οἷον κάθηται – οὐ κάθηται.

37 τυγχάνοι B: °ϕ: [*T*] πρός τι καὶ ποιὸν BΔ: °ϕ ὄν om. B: °ϕ
38 αὐτὸ τοῖς γένεσιν ΔΛ: °ϕσ post καταριθμεῖσθαι quaedam desiderantur 11ᵇ1–8 ἐπιδέχεται . . . πάσχειν post ἧττον (11ª14) collocaverim
1 τὸ πάσχειν B(a)(ϕ)o(σ): [*T*] 5 alt. τὸ om. BΔ: [*ΛΡΙΓ*] γὰρ] καὶ *Γ*: γὰρ καὶ *Δ* 6 καὶ . . . ἧττον om. *ΔΓ*: [*P*] 6–7 tert. καὶ . . . καὶ ἧττον om. nB: [*P*] 7 οὖν+καὶ *ΙΓ*: [*ΔΛΡ*] 9–16 vide Praefat., p. v adnot. 12 tert. τοῦ om. n: °ω°: [*T*] 16 ἀντιτίθεσθαι] ἀντικεῖσθαι Bϕ(o): °ω^{d}: [*T*] 17 τετραχῶς om. *ΡΙΓ* 22 δὲ+τὰ B οἷον] ὡς B: [*ΛΡ*]

ğillerdir. Ayrıca aynı şey hem nasıllık hem de görelilik olursa, onu her iki cinsin içinde saymak hiç de tutarsız değil.

<.....>

11[b] Etkinlikle edilginlik; karşıtlığı, azlığı, çokluğu kabul eder: Isıtmak soğutmaya, ısınmak soğumaya; haz duymak acı duymaya karşıt. O halde karşıtlığı kabul etmekteler. Azlık ya da çokluğu da kabul ederler: Isıtmak az ya da çok olabilir, ısınmak az ya da çok olabilir; acı duymak da daha az ya da daha çok olabilir. O halde etkinlikle edilginlik daha çokluğu, daha azlığı kabul etmekte.

<.....>

[Bunlar üzerine söylenenler bu kadar. Göreliler üzerine, durumlardan türetilerek söylendiklerinden söz ediliyor. Ötekiler üzerinde, zaman, uzam, iyelik konusunda durum açık olduğundan ötürü, iyeliğin "ayakkabılı, silahlı olmak", uzayın "Lykeion'da" gibi, başta söylenenler dışında bir başka şey söylenmemekte. O halde ele alınan cinsler üzerinde söylenenler yeterli olmakta. Tam devrikler üzerinde, genellikle kaç biçimde tam devrik olunduğunun söylenmesi gerekmekte.]

Bir şeyin bir başka şeye devrikliği dört biçimde söylenir: Göreliler, karşıtlar, yoksunluk ya da iyelikler, evetleme ya da değillemeler olarak. Bunlardan her birini örneklemek gerekirse: Görelilerde misil yarıma; karşıtlarda iyi kötüye; yoksunlukla iyelik açısından körlük görmeye; evetlemeyle değilleme olarak "oturuyor" "oturmuyor"a tam devrik.

Ὅσα μὲν οὖν ὡς τὰ πρός τι ἀντίκειται αὐτὰ ἅπερ ἐστὶ τῶν ἀντικειμένων λέγεται ἢ ὁπωσοῦν ἄλλως πρὸς αὐτά· οἷον τὸ διπλάσιον τοῦ ἡμίσεος αὐτὸ ὅπερ ἐστὶ διπλάσιον λέγεται· καὶ ἡ ἐπιστήμη δὲ τῷ ἐπιστητῷ ὡς τὰ πρός τι ἀντίκειται, καὶ λέγεταί γε ἡ ἐπιστήμη αὐτὸ ὅπερ ἐστὶ τοῦ ἐπιστητοῦ· καὶ τὸ ἐπιστητὸν δὲ αὐτὸ ὅπερ ἐστὶ πρὸς τὸ ἀντικείμενον λέγεται τὴν ἐπιστήμην· τὸ γὰρ ἐπιστητὸν τινὶ λέγεται ἐπιστητὸν τῇ ἐπιστήμῃ.

Ὅσα οὖν ἀντίκειται ὡς τὰ πρός τι αὐτὰ ἅπερ ἐστὶ τῶν ἀντικειμένων ἢ ὁπωσδήποτε πρὸς ἄλληλα λέγεται· τὰ δὲ ὡς τὰ ἐναντία, αὐτὰ μὲν ἅπερ ἐστὶν οὐδαμῶς πρὸς ἄλληλα λέγεται, ἐναντία μέντοι ἀλλήλων λέγεται· οὔτε γὰρ τὸ ἀγαθὸν τοῦ κακοῦ λέγεται ἀγαθόν, ἀλλ' ἐναντίον, οὔτε τὸ λευκὸν τοῦ μέλανος λευκόν, ἀλλ' ἐναντίον. ὥστε διαφέρουσιν αὗται αἱ ἀντιθέσεις ἀλλήλων.—ὅσα δὲ τῶν ἐναντίων τοιαῦτά ἐστιν
12a ὥστε ἐν οἷς πέφυκε γίγνεσθαι ἢ ὧν κατηγορεῖται ἀναγκαῖον αὐτῶν θάτερον ὑπάρχειν, τούτων οὐδέν ἐστιν ἀνὰ μέσον· [ὧν δέ γε μὴ ἀναγκαῖον θάτερον ὑπάρχειν, τούτων ἔστι τι ἀνὰ μέσον πάντως.] οἷον νόσος καὶ ὑγίεια ἐν σώματι ζῴου πέφυκε γίγνεσθαι, καὶ ἀναγκαῖόν γε θάτερον ὑπάρχειν τῷ τοῦ ζῴου σώματι ἢ νόσον ἢ ὑγίειαν· καὶ περιττὸν δὲ καὶ ἄρτιον ἀριθμοῦ κατηγορεῖται, καὶ ἀναγκαῖόν γε θάτερον τῷ ἀριθμῷ ὑπάρχειν ἢ περιττὸν ἢ ἄρτιον· καὶ οὐκ ἔστι γε τούτων οὐδὲν ἀνὰ μέσον, οὔτε νόσου καὶ ὑγιείας οὔτε περιττοῦ καὶ ἀρτίου. ὧν δέ γε μὴ ἀναγκαῖον θάτερον ὑπάρχειν, τούτων ἔστι τι ἀνὰ μέσον· οἷον μέλαν καὶ λευκὸν ἐν σώματι πέφυκε γίγνεσθαι,

26 τοῦ ἡμίσεος om. lb: ἑτῶν ἡμίσεων n . ἐστὶ + ἑτέρου nBΔΓ: + ἡμίσεος *l* alt. διπλάσιον om. n 27 λέγεται + τινὸς γὰρ διπλάσιον nB 28 γε] δὲ B: [*T*] 32 τῶν ἀντικειμένων] ἑτέρων n: τῶν ἑτ. (ϕ): lacuna quattuor litt. B: om. Δ: [*P*] 33 ἢ] λέγεται ἢ nBΛϕ: [*P*] ὁπωσοῦν ἄλλως nΛ: [*P*] 34 τὰ om. n: °σ: [*T*] 35 λέγεται + εἶναι n 12a2 ὑπάρχειν + καὶ ἓn: °ϕ: [*T*] οὐδὲν αὐτῶν n(ϕ): [ΛΡΓ] 2–4 ὧν . . . πάντως cf. 9–11 (ὧν . . . μέσον) 3 γε om. n: [*T*] ἀνὰ μέσον τι nΓ: [*P*] 4 πάντων ΛΙ: [*P*] 9 prius καὶ] οὔτε nΛ: [*P*]

Görelilerde tam devrik olanlar, kendileri kendi başlarına tam devrikleri için söylenir ya da bir başka biçimde onlarla ilgilidir: Sözgelişi misile kendi başına yarımın iki misli denir. Bilgi de bir göreli olarak bilinebilir olan için tam devrik: Bilgiye kendi başına, bilinebilir olanın bilgisi denir. Bilinebilir olan da kendi başına devriği olan bilgi için söylenir: Bilinebilir olana bir şeyle, bilgiyle bilinebilir olan denir.

O halde görelilerde tam devrikler kendi başlarına tam devriklerinin denir ya da bir başka biçimde birbirleri için söylenir. Oysa karşıtlar hiçbir zaman birbirleri için söylenmez, birbirinin karşıtı denir. İyiye kötünün iyisi değil, karşıtı; aka karanın akı değil, karşıtı denir. Demek ki bunların birbirleri için karşı olumu ayrımlı.

12ª Kendilerinde bulunması doğal olacak ya da onlardan birinin zorunlu olarak bulunması kendilerine yüklenecek biçimde karşıt olanların orta terimleri yok (onlardan birinin bulunması zorunlu olmayanların hepsinin orta terimi var); sözgelişi hastalıkla sağlığın bir canlı bedeninde bulunması doğal. Ayrıca ikisinden birinin hastalık ya da sağlık olarak bulunması canlının bedeni için zorunlu. Teklikle çiftlik sayıya yüklenir, teklik ya da çiftlik olarak ikisinden birinin bulunması sayı için zorunlu. Bunların bir orta terimi yok: Ne hastalıkla sağlığın ne de teklikle çiftliğin. Oysa ikisinden birinin bulunması zorunlu olmayanların bir orta terimi var; sözgelişi akla karanın bir cisimde bulunması doğal ve onlardan birinin

καὶ οὐκ ἀναγκαῖόν γε θάτερον αὐτῶν ὑπάρχειν τῷ σώματι, – οὐ γὰρ πᾶν ἤτοι λευκὸν ἢ μέλαν ἐστίν· – καὶ φαῦλον δὲ καὶ σπουδαῖον κατηγορεῖται μὲν καὶ κατ' ἀνθρώπου καὶ κατ' ἄλλων πολλῶν, οὐκ ἀναγκαῖον δὲ θάτερον αὐτῶν ὑπάρχειν ἐκείνοις ὧν κατηγορεῖται· οὐ γὰρ πάντα ἤτοι φαῦλα ἢ σπουδαῖά ἐστιν. καὶ ἔστι γέ τι τούτων ἀνὰ μέσον, οἷον τοῦ μὲν λευκοῦ καὶ τοῦ μέλανος τὸ φαιὸν καὶ ὠχρὸν καὶ ὅσα ἄλλα χρώματα, τοῦ δὲ φαύλου καὶ τοῦ σπουδαίου τὸ οὔτε φαῦλον οὔτε σπουδαῖον. ἐπ' ἐνίων μὲν οὖν ὀνόματα κεῖται τοῖς ἀνὰ μέσον, οἷον λευκοῦ καὶ μέλανος τὸ φαιὸν καὶ ὠχρόν· ἐπ' ἐνίων δὲ ὀνόματι μὲν οὐκ εὔπορον τὸ ἀνὰ μέσον ἀποδοῦναι, τῇ δὲ ἑκατέρου τῶν ἄκρων ἀποφάσει τὸ ἀνὰ μέσον ὁρίζεται, οἷον τὸ οὔτε ἀγαθὸν οὔτε κακὸν καὶ οὔτε δίκαιον οὔτε ἄδικον.

Στέρησις δὲ καὶ ἕξις λέγεται μὲν περὶ ταὐτόν τι, οἷον ἡ ὄψις καὶ ἡ τυφλότης περὶ ὀφθαλμόν· καθόλου δὲ εἰπεῖν, ἐν ᾧ πέφυκεν ἡ ἕξις γίγνεσθαι, περὶ τοῦτο λέγεται ἑκάτερον αὐτῶν. ἐστερῆσθαι δὲ τότε λέγομεν ἕκαστον τῶν τῆς ἕξεως δεκτικῶν, ὅταν ἐν ᾧ πέφυκεν ὑπάρχειν καὶ ὅτε πέφυκεν ἔχειν μηδαμῶς ὑπάρχῃ· νωδόν τε γὰρ λέγομεν οὐ τὸ μὴ ἔχον ὀδόντας, καὶ τυφλὸν οὐ τὸ μὴ ἔχον ὄψιν, ἀλλὰ τὸ μὴ ἔχον ὅτε πέφυκεν ἔχειν· τινὰ γὰρ ἐκ γενετῆς οὔτε ὄψιν οὔτε ὀδόντας ἔχει, ἀλλ' οὐ λέγεται νωδὰ οὐδὲ τυφλά. τὸ δὲ ἐστερῆσθαι καὶ τὸ ἔχειν τὴν ἕξιν οὐκ ἔστι στέρησις καὶ ἕξις· ἕξις μὲν γάρ ἐστιν ἡ ὄψις, στέρησις δὲ ἡ τυφλότης,

12 γε om. n: [ΔΛΡΓ] ὑπάρχειν τούτων nΔ: [ΛΡΙΓ] 13 πᾶν+· σῶμα nΛΙ: om. P 15 πολλῶν+ καὶ n: [Δ,ΙΡ] 16 ὧν ἂν κατηγορῆται B: °?T 17 π post τούτων pos. n: om. ΔΡΙ 18 et 19 (alt.) τοῦ om. B: [T] 18 et 21 τὸ ὠχρὸν B: [T] 21 ὠχροι+ καὶ ὅσα ἄλλα (+τοιαῦτα B) χρώματα BΔ 23 τῶν ἄκρων om. ΛΡΓ 24 καὶ om. σ,?T 27 ὀφθαλμόν+ καὶ n: [T] 28 ᾧ+ ἂν B: °ϕ: [T] ἡ ἕξις πέφυκε B: °ϕ ἑκάτερον] ?θάτερον P 29 αὐτῶν+ γίγεσθε (sic) n 30 καὶ] ἢ n,?Λ: om. (Δ)ΙΓ 33 τινὰ] ἔνια n,?Λ 33–4 ὀδόντας . . . ὄψιν ΛΡ 34 ἔχει οὔτε ὀδόντας BΔ: [ΛΡ] οὔτε νωδὰ οὔτε BΔ 35 τὴν ἕξιν ἔχειν Ba(ϕ): [ΔΡ]

bulunması cisim için zorunlu değil. Erdemli ile erdemsiz de insana ve başka pek çok şeye yüklenir ama, onlardan ikisinden birinin bulunması yüklendiği kişiler için zorunlu değil, çünkü herkes ya erdemli ya erdemsiz değil. Bunların bir orta terimi de var: Sözgelişi akla karanınki griyle açık sarı ve başkaları; erdemli ile erdemsiz olanınki ise 'ne erdemli ne de erdemsiz olan'. O halde kimilerinde orta terimin adı var, sözgelişi akla karanınki griyle açık sarı; kimilerinde ise orta terime ad vermek pek kolay olmuyor, uçlardan her ikisinin değillemesiyle orta terim belirleniyor: Örneğin "ne iyi ne de kötü" ya da "ne doğru ne de eğri" gibi.

Yoksunlukla iyelik aynı nesne konusunda söylenir; sözgelişi görmeyle körlük göz için söylenir. Genel olarak bulunması doğal olan şey konusunda bunların her ikisi de söylenir. İyeliği kabul eden nesnelerin her birinin, içinde bulunması doğal olan nesnede bulunmadığında ve iye olması doğalken olmadığında yoksun olduğunu söyleriz. Yani dişi olmayana dişsiz, görme duyusu olmayana kör demiyoruz; iye olması doğalken iye olmadığından dişsiz, kör diyoruz. Doğa gereği görme duyusu ya da dişi olmayanlara dişsiz ya da kör demeyiz. Yoksun olmak ve iye olmakla yoksunluk ve iyelik aynı şey değil. Görme iyelik, körlük yoksunluk; ama görme-

τὸ δὲ ἔχειν τὴν ὄψιν οὐκ ἔστιν ὄψις, οὐδὲ τὸ τυφλὸν εἶναι τυφλότης· στέρησις γάρ τις ἡ τυφλότης ἐστίν, τὸ δὲ τυφλὸν εἶναι ἐστερῆσθαι, οὐ στέρησίς ἐστιν. ἔτι εἰ ἦν ἡ τυφλότης ταὐτὸν τῷ τυφλὸν εἶναι, κατηγορεῖτο ἂν ἀμφότερα κατὰ τοῦ αὐτοῦ· ἀλλὰ τυφλὸς μὲν λέγεται ὁ ἄνθρωπος, τυφλότης 12ᵇ δὲ ὁ ἄνθρωπος οὐδαμῶς λέγεται. ἀντικεῖσθαι δὲ καὶ ταῦτα δοκεῖ, τὸ ἐστερῆσθαι καὶ τὸ τὴν ἕξιν ἔχειν ὡς στέρησις καὶ ἕξις· ὁ γὰρ τρόπος τῆς ἀντιθέσεως ὁ αὐτός· ὡς γὰρ ἡ τυφλότης τῇ ὄψει ἀντίκειται, οὕτω καὶ τὸ τυφλὸν εἶναι τῷ ὄψιν ἔχειν ἀντίκειται. (οὐκ ἔστι δὲ οὐδὲ τὸ ὑπὸ τὴν κατάφασιν καὶ ἀπόφασιν κατάφασις καὶ ἀπόφασις· ἡ μὲν γὰρ κατάφασις λόγος ἐστὶ καταφατικὸς καὶ ἡ ἀπόφασις λόγος ἀποφατικός, τῶν δὲ ὑπὸ τὴν κατάφασιν ἢ ἀπόφασιν οὐδέν ἐστι λόγος. λέγεται δὲ καὶ ταῦτα ἀντικεῖσθαι ἀλλήλοις ὡς κατάφασις καὶ ἀπόφασις· καὶ γὰρ ἐπὶ τούτων ὁ τρόπος τῆς ἀντιθέσεως ὁ αὐτός· ὡς γάρ ποτε ἡ κατάφασις πρὸς τὴν ἀπόφασιν ἀντίκειται, οἷον τὸ κάθηται – οὐ κάθηται, οὕτω καὶ τὸ ὑφ' ἑκάτερον πρᾶγμα ἀντίκειται, τὸ καθῆσθαι – μὴ καθῆσθαι.)—ὅτι δὲ ἡ στέρησις καὶ ἡ ἕξις οὐκ ἀντίκειται ὡς τὰ πρός τι, φανερόν· οὐ γὰρ λέγεται αὐτὸ ὅπερ ἐστὶ τοῦ ἀντικειμένου· ἡ γὰρ ὄψις οὐκ ἔστι τυφλότητος ὄψις, οὐδ' ἄλλως οὐδαμῶς πρὸς αὐτὸ λέγεται· ὡσαύτως δὲ οὐδὲ ἡ τυφλότης λέγοιτ' ἂν τυφλότης ὄψεως, ἀλλὰ στέρησις μὲν ὄψεως ἡ τυφλότης λέγεται, τυφλότης δὲ ὄψεως οὐ λέγεται. ἔτι τὰ πρός τι πάντα πρὸς ἀντιστρέφοντα λέγεται, ὥστε καὶ ἡ τυ-

37 οὐδὲ] οὔτε n : [*T*] 38 τις om. n*PI* 39 ἔτι] ἐπεὶ n*ΛI* : •ϕ 40 τῷ] τὸ B : •ϕ 41 ὁ ἄνθρωπος λέγεται n 12ᵇ1 οὐδαμῶς λέγεται ὁ ἄνθρωπος B*PI* : οὐδ. ἄνθρ. οὐ λέγ. *Δ* : οὐδ. λέγ. *Λ* : [*Γ*] 5–6 ἀπόφασιν καὶ κατάφασιν B(α) : •ϕσ 6 ἀπόφασις καὶ κατάφασις B*Λ*(ϕ) : •σ 7 alt. λόγος + ἐστὶν n*Λ* 8 ἢ] καὶ B*IΓ* : [*P*] 10 λόγος + ἀλλὰ πρᾶγμα n*Γ* 13 prius κάθηται + πρὸς τὸ n,?*I* : + τῷ B*Δσ* : + καὶ *PΓ* : •ϱ 15 καθῆσθαι ego : + τινα πρὸς τὸ n : + ?πρὸς τὸ *PI* : + τῷ B*ΔΓσ*,?*Λ* 16 ἕξις . . . στέρησις n*PI* : •αφησ 20 λέγεται (om. ἂν) *Δ*(ϕ),?*ΛIΓ* : •α : [*P*] 21 alt. τυφλότης . . . λέγεται om. *ΔΛ* : [*P*]

ye iye olmak görme değil, kör olmak da körlük değil. Nitekim körlük yoksunluk ama, kör olmak yoksunluk değil, yoksun olmak. Ayrıca körlükle kör olmak aynı şey olsaydı, her ikisi de aynı nesneye yüklenirdi, oysa **12b** insana kör denir ama, insana körlük denmez. Yoksun olmakla iye olmanın, yoksunlukla iyelik gibi tam devrik oldukları görünüyor; çünkü karşı olum biçimi aynı. Nitekim körlük görmeye nasıl tam devrikse, kör olmak da görmeye o biçimde tam devrik. (Evetlemeyle değillemenin kapsamı evetlemeyle değilleme olmaz; evetleme olumlu bir önerme, değilleme olumsuz, oysa evetleme ya da değillemenin kapsamları bir önerme oluşturmaz. Bunların birbirlerine evetlemeyle değillemenin olduğu gibi tam devrik olduğu söylenir, çünkü bunlarda da karşı olum biçimi aynı: "oturuyor-oturmuyor"daki gibi; nasıl evetleme değilleme için tam devrikse, yine her birinin kapsamındaki nesne de "oturmak-oturmamak" biçiminde tam devrik). Buna karşı, yoksun olmayla iyeliğin göreliler olarak tam devrik olmadıkları açık; nitekim kendileri, olduklarınca tam devrikleri için söylenmezler: görmek, körlüğün görmesi olmaz, başka hiçbir biçimde de onun için söylenmez. Aynı biçimde görme yokluğuna görmenin körlüğü değil, körlük denir. Öte yandan görelilerin hepsi evrik terimi için söylenir. Demek ki

φλότης εἴπερ ἦν τῶν πρός τι, ἀντέστρεφεν ἂν κἀκεῖνο πρὸς ὃ λέγεται· ἀλλ' οὐκ ἀντιστρέφει· οὐ γὰρ λέγεται ἡ ὄψις τυφλότητος ὄψις.

Ὅτι δὲ οὐδ' ὡς τὰ ἐναντία ἀντίκειται τὰ κατὰ στέρησιν λεγόμενα καὶ ἕξιν ἐκ τῶνδε δῆλον. τῶν μὲν γὰρ ἐναντίων, ὧν μηδέν ἐστιν ἀνὰ μέσον, ἀναγκαῖον, ἐν οἷς πέφυκε γίγνεσθαι ἢ ὧν κατηγορεῖται, θάτερον αὐτῶν ὑπάρχειν ἀεί· τούτων γὰρ οὐδὲν ἦν ἀνὰ μέσον, ὧν θάτερον ἀναγκαῖον ἦν τῷ δεκτικῷ ὑπάρχειν, οἷον ἐπὶ νύσου καὶ ὑγιείας καὶ περιττοῦ καὶ ἀρτίου· ὧν δὲ ἔστι τι ἀνὰ μέσον, οὐδέποτε ἀνάγκη παντὶ ὑπάρχειν θάτερον· οὔτε γὰρ λευκὸν ἢ μέλαν ἀνάγκη πᾶν εἶναι τὸ δεκτικόν, οὔτε θερμὸν ἢ ψυχρόν, -τούτων γὰρ ἀνὰ μέσον τι οὐδὲν κωλύει ὑπάρχειν- ἔτι δὲ καὶ τούτων ἦν τι ἀνὰ μέσον ὧν μὴ ἀναγκαῖον ἦν θάτερον ὑπάρχειν τῷ δεκτικῷ, εἰ μὴ οἷς φύσει τὸ ἓν ὑπάρχει, οἷον τῷ πυρὶ τὸ θερμῷ εἶναι καὶ τῇ χιόνι τὸ λευκῇ· -ἐπὶ δὲ τούτων ἀφωρισμένως ἀναγκαῖον θάτερον ὑπάρχειν, καὶ οὐχ ὁπότερον ἔτυχεν· οὐ γὰρ ἐνδέχεται τὸ πῦρ ψυχρὸν εἶναι οὐδὲ τὴν χιόνα μέλαιναν· -ὥστε παντὶ μὲν οὐκ ἀνάγκη τῷ δεκτικῷ θάτερον αὐτῶν ὑπάρχειν, ἀλλὰ μόνον οἷς φύσει τὸ ἓν ὑπάρχει, καὶ τούτοις ἀφωρισμένως τὸ ἓν καὶ οὐχ ὁπότερον ἔτυχεν. ἐπὶ δὲ τῆς στερήσεως καὶ τῆς ἕξεως οὐδέτερον τῶν εἰρημένων ἀληθές· οὐδὲ γὰρ ἀεὶ τῷ δεκτικῷ ἀναγκαῖον θάτερον αὐτῶν ὑπάρχειν, -τὸ γαρ μήπω πεφυκὸς ὄψιν ἔχειν οὔτε τυφλὸν οὔτε ὄψιν ἔχειν λέγεται, ὥστε οὐκ ἂν εἴη ταῦτα τῶν τοιούτων ἐναντίων ὧν οὐδέν ἐστιν ἀνὰ μέσον· -ἀλλ' οὐδὲ ὧν τι ἔστιν ἀνὰ μέσον· ἀναγκαῖον γάρ ποτε παντὶ

25 ὄψις om. ΔΛ: *σ 28 οὐδέν n: *σ^{c}φ: [T] οἷς] ᾧ BΔΡΓσ^{c}φ: *σ^{c} 30 ἦν ἀναγκαῖον B 32 τι om. nΓ: *φ: [P] 34 ψυχρόν . . . θερμόν ΛΙΓ: [P] ἢ] οὔτε BΔΛ: [P] 36 alt. ἦν post ὑπάρχειν pos. B: om. (φ): [T] 37 οἷς] ᾧ Pl: *φ οἷον- φύσει Δ 40 ἐνδέχεται + ἂν n: [T] 13a1 μόνον] -οις n^{c}: [PlΓ] 2 alt. καὶ om. ΔΛΡ: *n^{c} 4 οὐδὲ] οὔτε B: οὐ φ: *σn^{c}: [T] 7 μηδέν n^{c}: [T] 8 τι om. ΔΙΓ(φ),?n^{c}: *σ: [Λ] ἀνὰ μέσον ἐστίν BΔ(φ): *n^{c}: [Λ] ποτε om. B: *φn^{c}: [Λ]

körlük de görelilerden olsaydı, ilişkili olduğu terimle evrik olurdu, oysa evrik olmuyor; görmeye körlüğün görmesi denmiyor.

Yoksunlukla iyeliğe göre söylenenlerin, karşıtların tam devrik olması gibi tam devrik olmadıkları buradan açık. Orta terimi bulunmayan karşıtlarda, kendilerinde bulunması doğal olan ya da yüklenen nesnelerde, her zaman onlardan birinin bulunması zorunlu. Üstlenen için ikisinden birinin bulunması zorunlu olan karşıtların orta teriminin bulunmadığını söylemiştik; sözgelişi hastalıkla sağlık, tekle çift durumunda öyle. Oysa orta terimi olan karşıtlarda, ikisinden birinin bulunması her nesne için hiç de zorunlu değil. Her nesnenin ya aklığı ya da karalığı, ya sıcaklığı ya da soğuğu üstlenmesi hiç de zorunlu değil, çünkü bunların bir orta teriminin bulunmasına engel yok. Ayrıca üstlenen için ikisinden birinin bulunması zorunlu olmayan nesnelerin orta terimi olduğunu söylemiştik. Ancak onlarda doğa gereği bir şey bulunmaması gerekiyor: Sözgelişi ateşte sıcağın, karda akın bulunması gibi. Bunlarda ikisinden herhangi birinin değil belli bir biçimde ikisinden birinin bulunması zorunlu: Ateşin soğuk, karın kara olması olanaksız. Demek üstlenenlerin hepsi için karşıtlardan ikisinden birinin bulunması zorunlu değil: Yeter ki kendilerinde doğa gereği bir şey bulunmasın ya da bunlardan herhangi biri değil, belli bir biçimde bir teki bulunmasın. Oysa yoksunlukla iyelik konusunda sözünü ettiğimiz durumlardan hiçbiri geçerli değil. Çünkü onların ikisinden birinin bulunması üstlenen için her zaman zorunlu değil: Nitekim görmeye iye olmaya doğa gereği hiç yatkınlığı olmayan bir şeyin kör olduğu ya da görmeye iye olduğu söylenemez. Demek ki bunlar hiçbir orta terimi olmayan karşıtlardan olamazlar. Ama orta terimi olan karşıt-

τῷ δεκτικῷ θάτερον αὐτῶν ὑπάρχειν· ὅταν γὰρ ἤδη πε-
φυκὸς ᾖ ἔχειν ὄψιν, τότε ἢ τυφλὸν ἢ ἔχον ὄψιν ῥηθήσεται,
καὶ τούτων οὐκ ἀφωρισμένως θάτερον, ἀλλ' ὁπότερον ἔτυχεν,
–οὐ γὰρ ἀναγκαῖον ἢ τυφλὸν ἢ ὄψιν ἔχον εἶναι, ἀλλ' ὁπό-
τερον ἔτυχεν·– ἐπὶ δέ γε τῶν ἐναντίων, ὧν ἔστιν ἀνὰ μέσον τι,
οὐδέποτε ἀναγκαῖον ἦν παντὶ θάτερον ὑπάρχειν, ἀλλὰ τισίν,
καὶ τούτοις ἀφωρισμένως τὸ ἕν. ὥστε δῆλον ὅτι κατ' οὐδέτερον
τῶν τρόπων ὡς τὰ ἐναντία ἀντίκειται τὰ κατὰ στέρησιν καὶ
ἕξιν ἀντικείμενα.– ἔτι ἐπὶ μὲν τῶν ἐναντίων ὑπάρχοντος τοῦ
δεκτικοῦ δυνατὸν εἰς ἄλληλα μεταβολὴν γενέσθαι, εἰ μή
τινι φύσει τὸ ἓν ὑπάρχει, οἷον τῷ πυρὶ τὸ θερμῷ εἶναι· καὶ γὰρ
τὸ ὑγιαῖνον δυνατὸν νοσῆσαι καὶ τὸ λευκὸν μέλαν γενέσθαι
καὶ τὸ ψυχρὸν θερμόν, καὶ ἐκ σπουδαίου γε φαῦλον καὶ ἐκ
φαύλου σπουδαῖον δυνατὸν γενέσθαι· –ὁ γὰρ φαῦλος εἰς βελ-
τίους διατριβὰς ἀγόμενος καὶ λόγους κἂν μικρόν γέ τι ἐπι-
δοίη εἰς τὸ βελτίω εἶναι· ἐὰν δὲ ἅπαξ κἂν μικρὰν ἐπίδοσιν
λάβῃ, φανερὸν ὅτι ἤ τελείως ἂν μεταβάλοι ἢ πάνυ πολλὴν ἂν
ἐπίδοσιν λάβοι· ἀεὶ γὰρ εὐκινητότερος πρὸς ἀρετὴν γίγνεται,
κἂν ἡντινοῦν ἐπίδοσιν εἰληφὼς ἐξ ἀρχῆς ᾖ, ὥστε καὶ πλείω
εἰκὸς ἐπίδοσιν λαμβάνειν· καὶ τοῦτο ἀεὶ γιγνόμενον τε-
λείως εἰς τὴν ἐναντίαν ἕξιν ἀποκαθίστησιν, ἐάνπερ μὴ χρόνῳ
ἐξείργηται·– ἐπὶ δέ γε τῆς στερήσεως καὶ τῆς ἕξεως ἀδύνα-
τον εἰς ἄλληλα μεταβολὴν γενέσθαι· ἀπὸ μὲν γὰρ τῆς ἕξεως
ἐπὶ τὴν στέρησιν γίγνεται μεταβολή, ἀπὸ δὲ τῆς στε-
ρήσεως ἐπὶ τὴν ἕξιν ἀδύνατον· οὔτε γὰρ τυφλὸς γενόμενός

10 ὄψιν ἔχειν . . . ὄψιν ἔχον BΔ: °nᶜ: [ΛΡΙΓ] 12 ἔχον ὄψιν B:°φnᶜ: [ΛΡΙΓ] 13 τι ante ἀνὰ pos. Δ: om. BΛ: °nᶜ: [ΙΓ] 16–17 ἕξιν καὶ στέρησιν nᶜ 17 ὄντος B: °φσᶜnᶜ: [T] 18 γίνεσθαι nᶜσᶜ: °φ: [T] 20 ὑπάρχῃ B: °nᶜ: [T] τῷ ex τὸ corr. nᶜ²ʳᵉᶜ.: om. Δ: [ΛΡΙΓ] alt. τὸ ex τῷ corr. nᶜ²ʳᵉᶜ.: om. B: [ΛΡΓ] θερμὸν B: °nᶜ: [T] 21 δύναται nᶜ: [T] 22 γε] τε (φ),ℓI: δὲ nᶜ(φ): [ΔΛΡΓ] 24 γέ om. nᶜ: [ΔΛΡΓ] 25 ἐπὶ nᶜ: [T] βέλτιον nᶜ: [T] κἂν om. nᶜ,ʔΔ 26 μεταβάλλοι nᶜ: [T] alt. ἂν om. B: °nᶜ: [T] 28 ᾖ ἐξ ἀρχῆς nᶜ: [T] 29 ἐπίδοσιν+αὐτὸν BΛ: °nᶜ 31 ἕξεως . . . στερή-σεως BΔσᶜ 32 γίγνεσθαι nσᶜ: [T]

lardan da değiller, belli bir anda ya birinin ya da ötekinin olması onları üstlenen için zorunlu. Bir nesne görmeye iye olmaya hazır olduğunda artık onun ya kör olduğu ya da görmeye iye olduğu söylenir; ayrıca bunlardan belli biri değil, herhangi biri söylenecektir. Çünkü ya kör olmak ya da görmeye iye olmak değil, herhangi biri zorunlu. Orta terimi olan karşıtlardaysa hepsi için ikisinden birinin bulunması hiç zorunlu değil, ancak kiminde belli olarak birinin bulunması zorunlu. O halde iyelikle yoksunluk açısından tam devrik olanların söylediğimiz biçimlerden hiçbirine göre karşıt olarak tam devrik olmadıkları açık. Öte yandan karşıtları üstlenen bulunduğunda karşılıklı dönüşme olanaklı: Yeter ki ateşin sıcak olması gibi, nesnede doğal bir şey bulunmasın. Sağlıklının hasta, akın kara, soğuğun sıcak olması olanaklı; erdemliyken erdemsiz, erdemsizken erdemli olmak da olanaklı. Daha iyi işlere yöneltilen erdemsiz kişi pek az da olsa iyiye gider, az da olsa bir kez iyileşti mi, ya tam olarak dönüşeceği ya da oldukça büyük bir iyileşme göstereceği açık. Çünkü başlangıçta alınmış olan ne olursa olsun, erdeme doğru hep daha çok yönelme olur, iyileşme de gittikçe artar. Bu hep bu biçimde gidince, zamanla bir engel çıkmasa, hepten karşıt huya dönüşme olur. Ama iyelikle yoksunluk konusunda karşılıklı dönüşme olanaksız. İyelikten yoksunluğa dönüşme olur, ama yoksunluktan iyeliğe dönüşme olanaksız.

τις πάλιν ἔβλεψεν, οὔτε φαλακρὸς ὢν κομήτης ἐγένετο, οὔτε νωδὸς ὢν ὀδόντας ἔφυσεν.

"Οσα δὲ ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκειται, φανερὸν ὅτι κατ' οὐδένα τῶν εἰρημένων τρόπων ἀντίκειται· ἐπὶ μόνων γὰρ τούτων ἀναγκαῖον ἀεὶ τὸ μὲν ἀληθὲς τὸ δὲ ψεῦδος αὐτῶν εἶναι. οὔτε γὰρ ἐπὶ τῶν ἐναντίων ἀναγκαῖον ἀεὶ θάτερον μὲν ἀληθὲς εἶναι θάτερον δὲ ψεῦδος, οὔτε ἐπὶ τῶν πρός τι, οὔτε ἐπὶ τῆς ἕξεως καὶ στερήσεως· οἷον ὑγίεια καὶ νόσος ἐναντία, καὶ οὐδέτερόν γε οὔτε ἀληθὲς οὔτε ψεῦδός ἐστιν· ὡσαύτως δὲ καὶ τὸ διπλάσιον καὶ τὸ ἥμισυ ὡς τὰ πρός τι ἀντίκειται, καὶ οὐκ ἔστιν αὐτῶν οὐδέτερον οὔτε ἀληθὲς οὔτε ψεῦδος· οὐδέ γε τὰ κατὰ στέρησιν καὶ ἕξιν, οἷον ἡ ὄψις καὶ ἡ τυφλότης· ὅλως δὲ τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδός ἐστιν· πάντα δὲ τὰ εἰρημένα ἄνευ συμπλοκῆς λέγεται. οὐ μὴν ἀλλὰ μάλιστα δόξειεν ἂν τὸ τοιοῦτο συμβαίνειν ἐπὶ τῶν κατὰ συμπλοκὴν ἐναντίων λεγομένων, –τὸ γὰρ ὑγιαίνειν Σωκράτη τῷ νοσεῖν Σωκράτη ἐναντίον ἐστίν,– ἀλλ' οὐδ' ἐπὶ τούτων ἀναγκαῖον ἀεὶ θάτερον μὲν ἀληθὲς θάτερον δὲ ψεῦδος εἶναι· ὄντος μὲν γὰρ Σωκράτους ἔσται τὸ μὲν ἀληθὲς τὸ δὲ ψεῦδος, μὴ ὄντος δὲ ἀμφότερα ψευδῆ· οὔτε γὰρ τὸ νοσεῖν Σωκράτη οὔτε τὸ ὑγιαίνειν ἀληθὲς αὐτοῦ μὴ ὄντος ὅλως τοῦ Σωκράτους. ἐπὶ δὲ τῆς στερήσεως καὶ τῆς ἕξεως μὴ ὄντος γε ὅλως οὐδέτερον ἀληθές, ὄντος δὲ οὐκ ἀεὶ θάτερον ἀληθές· τὸ γὰρ ὄψιν ἔχειν Σωκράτη τῷ τυφλὸν εἶναι Σωκράτη ἀντίκειται ὡς στέρησις καὶ ἕξις, καὶ ὄντος γε οὐκ ἀναγ-

13ᵇ

35 ἀνέβλεψεν Bϕ: [T] ὢν+πάλιν BΛΓ 36 ὢν+πάλιν n: °a 13ᵇ1 τρόπον (ante τῶν pos.) Λ(ϕ) 2 γὰρ μόνων B: °a°c: [T] 3 αὐτῶν om. ΛΡΓ: °a°c 4 μὲν om. Bϕσ°c,²ΔΛ 5–6 τῆς στερήσεως . . . ἡ ὑγίεια . . . ἡ νόσος B: [T] 9 ἕξιν+λεγόμενα n 11 ἅπαντα n: [T] 12 μᾶλλον Λ(ϕ): °a: [PIΓ] 12–13 ἂν δόξειεν Bϕ: [T] 18 Σωκράτη om. ΛΡΙΓ 19 ὑγιαίνειν+ἐστὶν B,²ΔΛ 20 τῆς ἕξεως καὶ τῆς στερήσεως (Δ)I: τῆς στερ. (Δ)ΛΡΓ γε] μὲν BIΓ: [ΔΛΡ] ὅλως om. ΛΡ 21 θάτερον om. BP alt. ἀληθές+θάτερον δὲ ψεῦδος nBΔ 22 τῷ] τὸ n

Kör yeniden göremez, saçsız saçlanamaz, dişsiz birinin dişleri yeniden çıkmaz.

Evetleme ile değilleme olarak tam devrik olanların, söylediğimiz biçimlerden hiçbirine göre tam devrik ol-
13b madıkları açık; çünkü yalnızca bunlarda hep birinin doğru, ötekinin yanlış olması zorunlu. Karşıtlarda ikisinden birinin doğru, ötekinin yanlış olması zorunlu değil; görelilerde, iyelikle yoksunlukta da öyle. Sözgelişi sağlıkla hastalık karşıt, hiçbiri ne doğru ne de yanlış. Aynı biçimde misille yarım göreliler olarak tam devrik, onlardan her biri ise ne doğru ne yanlış. Yoksunlukla iyelikte de, sözgelişi görmeyle körlük. Genelde bir bağlantı içinde söylenmeyenlerin hiçbiri ne doğru ne de yanlış. Sözünü ettiklerimizin hepsi de bağlantısız söylenmekte. Bununla birlikte özellikle bir bağlantı içinde söylenen karşıtlarda bu durumla karşılaşıldığı görünebilir. Sokrates'in sağlıklı olması, Sokrates'in hasta olmasına karşıt ama, bunlardan hep birinin doğru ötekinin yanlış olması zorunlu değil. Nitekim Sokrates olunca biri doğru öteki yanlış olacak, Sokrates yoksa ikisi de yanlış olacak. Çünkü Sokrates'in kendisi hepten yok olunca Sokrates'in ne hasta olması ne sağlıklı olması doğru olur. Yoksunlukla iyelik konusunda ise biri her zaman doğru değil: Sokrates'in görmeye iye olması Sokrates'in kör olmasına iyelik ve yoksun olma biçiminde tam dev-

καῖον θάτερον ἀληθὲς εἶναι ἢ ψεῦδος, –ὅτε γὰρ μήπω πέφυκεν ἔχειν, ἀμφότερα ψευδῆ,– μὴ ὄντος δὲ ὅλως τοῦ Σωκράτους καὶ οὕτω ψευδῆ ἀμφότερα, καὶ τὸ ὄψιν αὐτὸν ἔχειν καὶ τὸ τυφλὸν εἶναι. ἐπὶ δέ γε τῆς καταφάσεως καὶ τῆς ἀποφάσεως ἀεί, ἐάν τε ᾖ ἐάν τε μὴ ᾖ, τὸ μὲν ἕτερον ἔσται ψεῦδος τὸ δὲ ἕτερον ἀληθές· τὸ γὰρ νοσεῖν Σωκράτη καὶ τὸ μὴ νοσεῖν Σωκράτη, ὄντος τε αὐτοῦ φανερὸν ὅτι τὸ ἕτερον αὐτῶν ἀληθὲς ἢ ψεῦδος, καὶ μὴ ὄντος ὁμοίως· τὸ μὲν γὰρ νοσεῖν μὴ ὄντος ψεῦδος, τὸ δὲ μὴ νοσεῖν ἀληθές· ὥστε ἐπὶ μόνων τούτων ἴδιον ἂν εἴη τὸ ἀεὶ θάτερον αὐτῶν ἀληθὲς ἢ ψεῦδος εἶναι, ὅσα ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκειται.

Ἐναντίον δὲ ἐστιν ἀγαθῷ μὲν ἐξ ἀνάγκης κακόν, –τοῦτο δὲ δῆλον τῇ καθ' ἕκαστον ἐπαγωγῇ, οἷον ὑγιείᾳ νόσος καὶ δικαιοσύνῃ ἀδικία καὶ ἀνδρείᾳ δειλία, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων,– κακῷ δὲ ὅτε μὲν ἀγαθὸν ἐναντίον ἐστίν, ὁτὲ δὲ κακόν· τῇ γὰρ ἐνδείᾳ κακῷ ὄντι ἡ ὑπερβολὴ ἐναντίον κακὸν ὄν· ὁμοίως δὲ καὶ ἡ μεσότης ἐναντία ἑκατέρῳ οὖσα ἀγαθόν. ἐπ' ὀλίγων δ' ἂν τὸ τοιοῦτον ἴδοι τις, ἐπὶ δὲ τῶν πλείστων ἀεὶ τῷ κακῷ τὸ ἀγαθὸν ἐναντίον ἐστίν.—ἔτι τῶν ἐναντίων οὐκ ἀναγκαῖον, ἐὰν θάτερον ᾖ, καὶ τὸ λοιπὸν εἶναι· ὑγιαινόντων γὰρ ἁπάντων ὑγίεια μὲν ἔσται, νόσος δὲ οὔ· ὁμοίως δὲ καὶ λευκῶν ὄντων ἁπάντων λευκότης μὲν ἔσται, μελανία δὲ οὔ. ἔτι εἰ τὸ Σωκράτη ὑγιαίνειν τῷ Σωκράτη νοσεῖν ἐναντίον ἐστίν, μὴ ἐνδέχεται δὲ ἅμα ἀμφότερα τῷ αὐτῷ ὑπάρχειν, οὐκ ἂν ἐνδέχοιτο τοῦ ἑτέρου τῶν ἐναντίων ὄντος καὶ τὸ λοιπὸν εἶναι· ὄντος γὰρ τοῦ Σωκράτη ὑγιαίνειν οὐκ ἂν εἴη τὸ νοσεῖν Σωκράτη.

13b 25 δὲ] τε B ἁπλῶς Δ 26 αὐτὸν om. B: [PΓ] 27 τυφλὸν+ αὐτὸν BΔΛP 27–8 ἀποφάσεως . . . καταφάσεως PΓ 28 μὲν om. B: [ΔΛP] 29 τὸ δὲ] καὶ τὸ B: [ΔΛP] 30 Σωκράτη om. ΔPΓ 31 ᾖ] τὸ δὲ ἕτερον n(Λ) ψεῦδος+ ἐστιν nΠΓ,?Λ: [Δ] 36 ἐξ ἀνάγκης ante ἀγαθῷ pos. BΔP(ϕ)η: °ac 37–14a1 καὶ δικαιοσύνῃ ἀδικία om. B 2 ἐστίν ante ἐναντίον pos. σc,?PΠΓ: om. B: [Λ] 6 ἔτι+ ἐπὶ BΛΓαϕ: °σ 7 γὰρ] μὲν σ: μὲν γὰρ B, ?ΔΛP 14 ὑγιαίνειν Σωκράτη n: [T]

rik; Sokrates varsa ikisinden birinin doğru ya da yanlış olması zorunlu değil. –Sokrates hepten yoksa hem onun görmeye iye olması hem de kör olması, her ikisi de yanlış olur. Oysa evetlemeyle değillemede, olsa da olmasa da hep biri yanlış öteki doğru olacak. Sözgelişi Sokrates'in hasta olmasıyla Sokrates'in hasta olmaması: Sokrates varsa bunlardan birinin doğru ya da yanlış olacağı açık. O yoksa aynı biçimde olur, çünkü o yoksa hasta olduğu yanlış, hasta olmadığı doğru olur. Demek ki onlardan birinin hep doğru ya da yanlış olması yalnızca evetlemeyle değilleme olarak tam devrik olanlara özgü bir nitelik olsa gerek.

İyiye kötünün karşıt olması zorunlu –bu tek tek ele alınanlarda tüme varma yoluyla da açık oluyor: Sözgelişi sağlık hastalığa, doğruluk eğriliğe, korkaklık yiğitliğe karşıt. Ötekilerde de bu böyle–. Oysa kötülüğe kimi kez iyilik karşıt kimi kez de kötülük. Kötü bir şey olan aşırılık, kötü bir şey olan eksikliğe karşıt; iyi olan 'orta olma' ise her ikisine de aynı biçimde karşıt. Ancak bu pek az durumda söz konusu olur. Öte yandan karşıtlarından biri olduğunda ötekinin de olması zorunlu değil. Herkes sağlıklı olursa sağlık olacak, hastalık olmayacak; aynı biçimde her nesne ak olursa aklık olacak, karalık olmayacak. Yine, Sokrates'in sağlıklı olması Sokrates'in hasta olmasına karşıtsa, her ikisi de aynı anda aynı kişide bulunamaz; karşıtlardan biri olunca ötekinin olması olanaksız, çünkü 'Sokrates'in sağlıklı olması' varken, 'Sokrates'in hasta olması' olanaksız.

Δῆλον δὲ ὅτι καὶ περὶ ταὐτὸν ἢ εἶδει ἢ γένει πέφυκε γίγνεσθαι τὰ ἐναντία· νόσος μὲν γὰρ καὶ ὑγίεια ἐν σώματι ζῴου, λευκότης δὲ καὶ μελανία ἁπλῶς ἐν σώματι, δικαιοσύνη δὲ καὶ ἀδικία ἐν ψυχῇ. ἀνάγκη δὲ πάντα τὰ ἐναντία ἢ ἐν τῷ αὐτῷ γένει εἶναι ἢ ἐν τοῖς ἐναντίοις γένεσιν, ἢ αὐτὰ γένη εἶναι· λευκὸν μὲν γὰρ καὶ μέλαν ἐν τῷ αὐτῷ γένει, –χρῶμα γὰρ αὐτῶν τὸ γένος,– δικαιοσύνη δὲ καὶ ἀδικία ἐν τοῖς ἐναντίοις γένεσιν, –τοῦ μὲν γὰρ ἀρετή, τοῦ δὲ κακία τὸ γένος,– ἀγαθὸν δὲ καὶ κακὸν οὐκ ἔστιν ἐν γένει, ἀλλ' αὐτὰ τυγχάνει γένη τινῶν ὄντα.

12 Πρότερον ἕτερον ἑτέρου λέγεται τετραχῶς· πρῶτον μὲν καὶ κυριώτατα κατὰ χρόνον, καθ' ὃ πρεσβύτερον ἕτερον ἑτέρου καὶ παλαιότερον λέγεται, –τῷ γὰρ τὸν χρόνον πλείω εἶναι καὶ πρεσβύτερον καὶ παλαιότερον λέγεται·– δεύτερον δὲ τὸ μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, οἷον τὸ ἓν τῶν δύο πρότερον· δυεῖν μὲν γὰρ ὄντων ἀκολουθεῖ εὐθὺς τὸ ἓν εἶναι, ἑνὸς δὲ ὄντος οὐκ ἀναγκαῖον δύο εἶναι, ὥστε οὐκ ἀντιστρέφει ἀπὸ τοῦ ἑνὸς ἡ ἀκολούθησις τοῦ εἶναι τὸ λοιπόν, πρότερον δὲ δοκεῖ τὸ τοιοῦτον εἶναι ἀφ' οὗ μὴ ἀντιστρέφει ἡ τοῦ εἶναι ἀκολούθησις. τρίτον δὲ κατά τινα τάξιν πρότερον λέγεται, καθάπερ ἐπὶ τῶν ἐπιστημῶν καὶ τῶν λόγων· ἔν τε γὰρ ταῖς ἀποδεικτικαῖς ἐπιστήμαις ὑπάρχει τὸ πρότερον καὶ τὸ ὕστερον τῇ τάξει, –τὰ γὰρ στοιχεῖα πρότερα τῶν διαγραμμάτων τῇ τάξει, καὶ ἐπὶ τῆς γραμματικῆς τὰ στοιχεῖα 14ᵇ πρότερα τῶν συλλαβῶν,– ἐπί τε τῶν λόγων ὁμοίως, –τὸ γὰρ προοίμιον τῆς διηγήσεως πρότερον τῇ τάξει ἐστίν.– ἔτι παρὰ τὰ εἰρημένα τὸ βέλτιον καὶ τὸ τιμιώτερον πρότερον

16 ζῴου + πέφυκε γίγνεσθαι n*I* 18 ψυχῇ + ἀνθρώπου nB*ΔP*: °σ ἀναγκαῖον (ϕ)σ: [*T*] δὴ B,?*I*: °ϕσ: [*Γ*] ἅπαντα (ϕ): °σ: [*T*] 20 prius εἶναι om. *IΓ*: °ϕ 23 τὸ γένος ante τοῦ δὲ pos. n: °η: [*P*] 26 πρότερον + δὲ *P*(ϕ)οη: °ασ μὲν + γὰρ *I*,?*ΔP* 27 τὸν χρόνον B: °ο: [*ΛPIΓ*] καθ' ὃν n: καθ' ἃ ο: [*T*] 35–6 κατά . . . τὸ πρότερον (*Δ*)Iϕ,?*Λ*: ὃ κατά . . . πρότερον n(*Δ*) 38 πρότερον n 14ᵇ2 πρότερα om. *IΓ* 4 alt. τὸ om. n: °ϕ: [*T*]

Karşıtların türce ya da cinsce aynı şey konusunda olması doğal, bu açık. Hastalıkla sağlık canlı bedeninde, aklıkla karalık genelde cisimde, doğrulukla eğrilik ise ruhtadır. Karşıtların hepsinin ya aynı cins içinde ya karşıt cinslerde olması ya da kendilerinin cins olması zorunlu. Akla kara aynı cins içinde –cinsleri renk–, doğrulukla eğrilik karşıt cinslerde –ilkinin erdem, ötekinin kötülük–, iyilikle kötülük ise bir cins içinde değiller ama, kendileri bazı şeylerin cinsi.

Bir şeyin bir başkasından önceliği dört biçimde söylenir: İlk, asıl anlamıyla zamana göre söylenir. Buna göre, bir şey bir başkasından daha yaşlı, daha eski denir –zaman açısından daha çok olmasından ötürü daha yaşlı, daha eski denir–. İkincisi olarak, var olması bir başkasının var olması sonucunu getiren ama, evirmeyi kabul etmeyen: Sözgelişi bir, ikiden daha önce; iki olunca doğrudan birin de olduğu sonucu çıkar ama, bir olduğunda ikinin olması zorunlu değil. O halde birden ötekinin var olması sonucu çıkmaz ve var olma sıralanışında evirmeyi kabul etmeyen bu nesne daha önce gelir, bu görülüyor. Üçüncü olarak, bilimlerle konuşmalardaki gibi, bir sıraya göre daha önce denir: Tanıtlamalı bilimlerde sıra açısından daha önce, daha sonra var –çünkü
14[b] öğeler geometrik şekillerden sıra bakımından daha önce–; konuşmalarda da bu böyle, giriş sıra bakımından açıklama kısmından daha önce. Öte yandan söylediklerimizin dışında daha iyiyle daha değerlinin doğa gereği

εἶναι τῇ φύσει δοκεῖ· εἰώθασι δὲ καὶ οἱ πολλοὶ τοὺς ἐντιμοτέρους καὶ μᾶλλον ἀγαπωμένους ὑπ' αὐτῶν προτέρους φάσκειν εἶναι· ἔστι μὲν δὴ σχεδὸν ἀλλοτριώτατος τῶν τρόπων οὗτος.

Οἱ μὲν οὖν λεγόμενοι τοῦ προτέρου τρόποι τοσοῦτοί εἰσιν. δόξειε δ' ἂν καὶ παρὰ τοὺς εἰρημένους ἕτερος εἶναι προτέρου τρόπος· τῶν γὰρ ἀντιστρεφόντων κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν τὸ αἴτιον ὁπωσοῦν θατέρῳ τοῦ εἶναι πρότερον εἰκότως φύσει λέγοιτ' ἄν. ὅτι δ' ἔστι τινὰ τοιαῦτα, δῆλον· τὸ γὰρ εἶναι ἄνθρωπον ἀντιστρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν πρὸς τὸν ἀληθῆ περὶ αὐτοῦ λόγον· εἰ γὰρ ἔστιν ἄνθρωπος, ἀληθὴς ὁ λόγος ᾧ λέγομεν ὅτι ἔστιν ἄνθρωπος· καὶ ἀντιστρέφει γε, –εἰ γὰρ ἀληθὴς ὁ λόγος ᾧ λέγομεν ὅτι ἔστιν ἄνθρωπος, ἔστιν ἄνθρωπος·– ἔστι δὲ ὁ μὲν ἀληθὴς λόγος οὐδαμῶς αἴτιος τοῦ εἶναι τὸ πρᾶγμα, τὸ μέντοι πρᾶγμα φαίνεταί πως αἴτιον τοῦ εἶναι ἀληθῆ τὸν λόγον· τῷ γὰρ εἶναι τὸ πρᾶγμα ἢ μὴ ἀληθὴς ὁ λόγος ἢ ψευδὴς λέγεται. ὥστε κατὰ πέντε τρόπους πρότερον ἕτερον ἑτέρου λέγοιτ' ἄν.

Ἅμα δὲ λέγεται ἁπλῶς μὲν καὶ κυριώτατα ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ· οὐδέτερον γὰρ πρότερον οὐδὲ ὕστερόν ἐστιν· ἅμα δὲ κατὰ τὸν χρόνον ταῦτα λέγεται. φύσει δὲ ἅμα ὅσα ἀντιστρέφει μὲν κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, μηδιαμιῶς δὲ αἴτιον θάτερον θατέρῳ τοῦ εἶναί ἐστιν, οἷον ἐπὶ τοῦ διπλασίου καὶ τοῦ ἡμίσεος· ἀντιστρέφει μὲν γὰρ ταῦτα, –διπλασίου γὰρ ὄντος ἐστὶν ἥμισυ, καὶ ἡμίσεος 13

7 φάσκειν + παρ' αὐτοῖς nBΓ δὴ + καὶ B(a): [T] 9 τρόποι τοῦ προτέρου B,?Λ: [PIΓ] ante τοσοῦτοί add. σχεδὸν B 10 καὶ post εἰρημένους pos. B(ϕ): [ΛPIΓ] 11 τοῦ προτέρου (ϕ): [T] 13 τῇ φύσει B(ϕ): [T] 18 prius ἄνθρωπος + καὶ n: [T] ἀληθὴς om. P 23 λέγεται (om. ἅμ) Bσ,?T: °aϕ 24 μὲν om. Γ(ϕ)σ^{c}: °a [ΔΛP] 25 ἐστιν ante ἐν add. B,?Λ: post χρόνῳ (ϕ)σ^{c}: °η 25–6 ante πρότερον add. τῶν τοιούτων nI: post ἐστιν add. αὐτῶν BΔ: [PΓ] ἐστιν οὐδὲ ὕστερον nΛ: [P] 29 μὲν om. Γ: [ΔΛP] 30 prius γὰρ om. n διπλασίου + μὲν BI: [ΔΛP] ἥμισύ ἐστιν n,?P

daha önce olduğu görünüyor. Çoğu kimse daha değerli saydığı, daha çok sevdiği kimselerin daha önce geldiklerini söyler durur. Kuşkusuz bu daha öncenin çeşitleri için en uzak olan.

Daha öncenin çeşitleri bu söylediklerimiz, bunların dışında daha öncenin bir başka biçimi de varmış gibi geliyor. Var olma sıralanışına göre evrik olan nesnelerde varlığının nedeni olan iki nesneden biri için doğa gereği daha önce denebilir, bu açık: İnsanın var olması, var olma sıralanışına göre, kendisi hakkındaki doğru önermeye evrik; çünkü insan varsa, insanın var olduğunu söylediğimiz önerme doğru olur ve evriktir; çünkü insanın var olduğunu söylediğimiz önerme doğruysa insan var demektir. Ancak doğru önerme hiçbir biçimde nesnenin var olma nedeni değil, oysa nesne önermenin doğru olmasının belli bir biçimde nedeni gibi görünüyor; nitekim nesnenin olmasına göre önermenin doğru ya da yanlış olduğu söylenir. Demek ki bir nesnenin bir başkasından daha önce olması beş biçimde söylenebilmektedir.

Zamandaş, asıl anlamıyla oluşları aynı zamanda olan nesneler için denir, çünkü ikisinden biri ne daha önce ne de daha sonra. Böyle nesnelere zaman açısından zamandaş denir. Var olma sıralanışına göre evrik olanların doğal olarak zamandaş oldukları görünüyor, ama bunlardan biri öteki için hiçbir zaman var olma nedeni değil. Sözgelişi misille yarım: Bunlar evrik –çünkü misil olun-

ὄντος διπλάσιόν ἐστιν,– οὐδέτερον δὲ οὐδετέρῳ αἴτιον τοῦ εἶναι ἐστιν. καὶ τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρημένα ἀλλήλοις ἅμα τῇ φύσει λέγεται. ἀντιδιῃρῆσθαι δὲ λέγεται ἀλλήλοις τὰ κατὰ τὴν αὐτὴν διαίρεσιν, οἷον τὸ πτηνὸν τῷ πεζῷ καὶ τῷ ἐνύδρῳ· ταῦτα γὰρ ἀλλήλοις ἀντιδιῄρηται ἐκ τοῦ αὐτοῦ γένους ὄντα· τὸ γὰρ ζῷον διαιρεῖται εἰς ταῦτα, εἴς τε τὸ πτηνὸν καὶ τὸ πεζὸν καὶ τὸ ἔνυδρον, καὶ οὐδέν γε τούτων πρότερον ἢ ὕστερόν ἐστιν, ἀλλ' ἅμα τῇ φύσει τὰ τοιαῦτα δοκεῖ εἶναι· (διαιρεθείη δ' ἂν καὶ ἕκαστον τούτων εἰς εἴδη πάλιν, οἷον τὸ πεζὸν καὶ τὸ πτηνὸν καὶ τὸ ἔνυδρον.) ἔσται οὖν κἀκεῖνα ἅμα τῇ φύσει, ὅσα ἐκ τοῦ αὐτοῦ γένους κατὰ τὴν αὐτὴν διαίρεσίν ἐστιν· τὰ δὲ γένη τῶν εἰδῶν ἀεὶ πρότερα· οὐ γὰρ ἀντιστρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν· οἷον ἐνύδρου μὲν ὄντος ἔστι ζῷον, ζῴου δὲ ὄντος οὐκ ἀνάγκη ἔνυδρον εἶναι.—ἅμα οὖν τῇ φύσει λέγεται ὅσα ἀντιστρέφει μὲν κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν, μηδαμῶς δὲ αἴτιον τὸ ἕτερον τῷ ἑτέρῳ τοῦ εἶναί ἐστιν, καὶ τὰ ἐκ τοῦ αὐτοῦ γένους ἀντιδιῃρημένα ἀλλήλοις· ἁπλῶς δὲ ἅμα, ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ.

14 Κινήσεως δέ ἐστιν εἴδη ἕξ· γένεσις, φθορά, αὔξησις, μείωσις, ἀλλοίωσις, κατὰ τόπον μεταβολή. αἱ μὲν οὖν ἄλλαι κινήσεις φανερὸν ὅτι ἕτεραι ἀλλήλων εἰσίν· οὐ γάρ ἐστιν ἡ γένεσις φθορὰ οὐδέ γε ἡ αὔξησις μείωσις οὐδὲ ἡ κατὰ τόπον μεταβολή†, ὡσαύτως δὲ καὶ αἱ ἄλλαι· ἐπὶ δὲ τῆς ἀλλοιώσεως ἔχει τινὰ ἀπορίαν, μήποτε ἀναγκαῖον ᾖ τὸ ἀλλοιούμενον κατά τινα τῶν λοιπῶν κινήσεων ἀλλοιοῦσθαι. τοῦτο δὲ οὐκ ἀληθές ἐστιν· σχεδὸν γὰρ κατὰ πάντα τὰ πάθη ἢ τὰ πλεῖστα ἀλλοιοῦσθαι συμβέβηκεν ἡμῖν οὐδεμιᾶς τῶν ἄλλων κινήσεων κοινωνοῦσιν· οὔτε

33 αὐτοῦ + δὲ B(ϕ): [T] 37 ὄντα om. ΙΓ: [P] 37–8 εἴς τε om. n, ?Λ 38 πεζὸν . . . πτηνὸν nP 15a1 τούτων (ante ἕκαστον pos. nΔ)] τῶν τοιούτων B 2 πεζὸν + ζῷον nΔΛΙ 4–5 τῶν εἰδῶν post ἀεὶ pos. Δ: om. (Λ)ΙΓ 5 πρότερα + ἐστιν B, ?ΛΙ 10 τὸ om. n: [ΛΡΓ] 14 ἀλλοίωσις + καὶ Γ: °ϕ κατὰ] ἡ κατὰ Bϕ: [T] 16 γε om. B: °ϕ: [T] αὔξησις + οὐδὲ ΙΓ 21 alt. τὰ + γε n: [T] 22 κοινωνούσης Λ

ca yarım var, yarım olunca da misil var– ama herikisi de birbiri için var olma nedeni değil. Aynı cinsten karşılıklı ayrılmış olanlara da doğa gereği zamandaş denir. Karşı-
35 lıklı ayrılmak dediğim, aynı bölümlemeye göre olanlar; sözgelişi kanatlı, yürüyen, suda yaşayan. Bunlar aynı cinsten olmalarına karşın birbirlerinden ayrılmışlar. Hayvan bu bölümlemeye göre kanatlı, yürüyen, suda yaşayan diye bölümlenir. Bunlardan hiçbiri de daha önce ya da daha sonra değil; doğa gereği zamandaş, bu gö-
15ª rülüyor (bunların her biri de yeniden türlere ayrılabilir; sözgelişi kanatlı, yürüyen, suda yaşayan). O halde aynı bölümlemeye göre aynı cinsten olan onlar da doğa gereği zamandaş olacak. Ama cinsler türlere göre hep daha
5 önce olur, çünkü var olma sıralanışına göre evrik değiller: Örneğin suda yaşayan varsa hayvan var ama, hayvan olduğunda suda yaşayanın olması zorunlu değil. O halde var olma sıralanışına göre evrik olan nesnelere doğa gereği zamandaş denir, ama biri öteki için hiçbir zaman var olma nedeni değil. Aynı cinsten karşılıklı ay-
10 rılmış olanlara da doğa gereği zamandaş denir. Kısaca oluşları aynı zamanda olanlara zamandaş denir.

Devinimin altı türü var: Oluş, yokoluş, artma, azalma, başkalaşma, yer değiştirme. Değişik devinimler
15 kendi aralarında da ayırımlı, bu açık: Oluş, yokoluş değil, artmayla azalma da yer değiştirme değil; ötekilerde de bu böyle. Ama başkalaşma konusunda, başkalaşanın öteki devinimlerden birine göre başkalaşması zorunlu
20 mu değil mi, bu kuşkulu ama doğru değil. Aşağı yukarı etkilenmelerin hepsi ya da büyük kısmı bizde öteki devinimlerden hiçbiriyle orta olmayan bir başkalaşma oluş-

γὰρ αὔξεσθαι ἀναγκαῖον τὸ κατὰ πάθος κινούμενον οὔτε μειοῦσθαι, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὥσθ' ἑτέρα ἂν εἴη παρὰ τὰς ἄλλας κινήσεις ἡ ἀλλοίωσις· εἰ γὰρ ἦν ἡ αὐτή, ἔδει τὸ ἀλλοιούμενον εὐθὺς καὶ αὔξεσθαι ἢ μειοῦσθαι ἤ τινα τῶν ἄλλων ἀκολουθεῖν κινήσεων· ἀλλ' οὐκ ἀνάγκη. ὡσαύτως δὲ καὶ τὸ αὐξόμενον ἤ τινα ἄλλην κίνησιν κινούμενον ἀλλοιοῦσθαι· ἀλλ' ἔστι τινὰ αὐξανόμενα ἃ οὐκ ἀλλοιοῦται· οἷον τὸ τετράγωνον γνώμονος περιτεθέντος ηὔξηται μέν, ἀλλοιότερον δὲ οὐδὲν γεγένηται· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων. ὥσθ' ἕτεραι ἂν εἴησαν αἱ κινήσεις ἀλλήλων.

15ᵇ Ἔστι δὲ ἁπλῶς μὲν κίνησις ἠρεμίᾳ ἐναντίον· ταῖς δὲ καθ' ἕκαστα, γενέσει μὲν φθορά, αὐξήσει δὲ μείωσις· τῇ δὲ κατὰ τόπον μεταβολῇ ἡ κατὰ τόπον ἠρεμία μάλιστα ἔοικεν ἀντικεῖσθαι, καὶ εἰ ἄρα ἡ εἰς τὸν ἐναντίον τόπον μεταβολή, οἷον τῇ κάτωθεν ἡ ἄνω, τῇ ἄνωθεν ἡ κάτω. τῇ δὲ λοιπῇ τῶν ἀποδοθεισῶν κινήσεων οὐ ῥᾴδιον ἀποδοῦναι τί ποτέ ἐστιν ἐναντίον, ἔοικε δὲ οὐδὲν εἶναι αὐτῇ ἐναντίον, εἰ μή τις καὶ ἐπὶ ταύτης τὴν κατὰ τὸ ποιὸν ἠρεμίαν ἀντιθείη ⟨ἢ⟩ τὴ⟨ν⟩ εἰς τὸ ἐναντίον τοῦ ποιοῦ μεταβολή⟨ν⟩, καθάπερ καὶ ἐπὶ τῆς κατὰ τόπον μεταβολῆς τὴν κατὰ τόπον ἠρεμίαν ἢ τὴν εἰς τὸ ἐναντίον τόπον μεταβολήν, –ἔστι γὰρ ἡ ἀλλοίωσις μεταβολὴ κατὰ τὸ ποιόν– ὥστε ἀντίκειται τῇ ⟨κατὰ τὸ ποιὸν κινήσει ἢ⟩ κατὰ τὸ ποιὸν ἠρεμία

26 ἢ] καὶ *ΔΓ*(♦) 27 τινι n(♦) 28 αὐξανόμενον B(♦): [*T*] 29 ἀλλοιοῦσθαι + ἔδει B: + ἀναγκαῖον *Γ* ἃ] καὶ *ΛΓ* 30 γνώμονος + αὐτῷ ♦ᶜ: + αὐτό (sic) o 31 οὐδὲν] οὐ ♦ᶜ,ʔ*Λ*: °o 15ᵇ1 κινήσει ἠρεμία ♦,ʔ*P*η: °σ 2 ἕκαστα + αἱ καθ' ἕκαστα B(♦) 3 μάλιστα + δὲ B(*Λ*): °♦ 4 καὶ om. *Λ*(♦): [*P*] εἰ ἄρα om. B*ΔΛ*♦ εἰς] πρὸς B(♦): [*T*] 5 alt. τῇ] τῇ δὲ B*Δ*: καὶ τῇ *P*(♦): [*Λ*] 5–6 τῇ ἄνωθεν ἡ κάτω om. *ΛΙ* 7 οὐδὲ *ΛΓ*: [*P*] εἶναι + τι *ΔΛΓ*: [*P*] 9 ἢ τὴν . . . μεταβολὴν (ʔ ex coniectura) cod. Coisl. 330,ʔ*Γ*: τῇ . . . μεταβολῇ n*BΔΛ*: [*PI*] 12 ἀντικεῖσεται B*ΔΙ*: [*P*] 13 κατὰ . . . ἡ (ʔ ex coniectura) B: om. n*ΔΛΙΠ*ᵃ: [*P*] 13–14 ἠρεμία ἢ εἰς (ʔ ex coniectura) B,ʔ*Λ*: ἠρεμίᾳ ἡ εἰς n*ΔΙΓ*: [*P*]

turur. Nitekim bir etkilenmeye göre devinen bir şeyin artması ya da azalması zorunlu değil, ötekiler için de bu böyle. Demek ki başkalaşma öteki devinimlerden ayrımlı olsa gerek: Aynı olsaydı başkalaşan nesnenin doğrudan artması, azalması ya da öteki devinimlerden birinin izlemesi gerekirdi, oysa böyle bir zorunluluk yok. Aynı biçimde, artan ya da herhangi bir başka devinime göre devinen nesnenin başkalaşması zorunlu olurdu, oysa kimi nesneler başkalaşmadan artmakta: Örneğin gnomon[1] uygulanan dörtgen artmıştır ama kendisinde başkalaşma olmamıştır. Benzeri öteki şeylerde de bu böyle. O halde devinimler birbirinden ayrımlı oluyor.

15[b] Öte yandan devinim genelde durgunluğa karşıt. Tek tek devinimleri alırsak: Oluş yokoluşa, artma azalmaya karşıt. Yer değiştirmeyeyse özellikle yere göre durgunluğun ya da karşı yöne olan yer değiştirmenin karşıt olduğu görünüyor; sözgelişi aşağıya doğru olana yukarıya doğru olan, yukarıya doğru olana aşağıya doğru olan. Açıkladığımız devinimlerden geri kalan devinime neyin karşıt olduğunu göstermek ise pek kolay değil: Hiçbir şeyin ona karşıt olmadığı görünüyor, meğer ki buna niteliğe göre olan durgunluk ya da karşıt niteliğe doğru yer değiştirme karşıt sayılsın. Tıpkı yer değiştirmeye göre olan durgunluk ya da karşı yöne doğru olan yer değiştirme gibi –çünkü başkalaşma niteliğe göre bir yer değiştirme–. O halde niteliğe göre olan devinime niteliğe göre olan durgunluk ya da karşıt niteliğe göre olan

1 Gnomon, Pythagoras'ın buluşu olan bir aygıttır: Bu aygıtla bir dörtgen büyütülebilmektedir (ç.n.).

⟨ἢ⟩ ἡ εἰς τὸ ἐναντίον τοῦ ποιοῦ μεταβολή, οἷον τὸ λευκὸν γίγνεσθαι τῷ μέλαν γίγνεσθαι· ἀλλοιοῦται γὰρ εἰς τὰ ἐναντία τοῦ ποιοῦ μεταβολῆς γιγνομένης.

15 Τὸ ἔχειν κατὰ πλείονας τρόπους λέγεται· ἢ γὰρ ὡς ἕξιν καὶ διάθεσιν ἢ ἄλλην τινὰ ποιότητα, –λεγόμεθα γὰρ ἐπιστήμην ἔχειν καὶ ἀρετήν· ἢ ὡς ποσόν, οἷον ὃ τυγχάνει τις ἔχων μέγεθος, –λέγεται γὰρ τρίπηχυ μέγεθος ἔχειν ἢ τετράπηχυ– ἢ ὡς τὰ περὶ τὸ σῶμα, οἷον ἱμάτιον ἢ χιτῶνα· ἢ ὡς ἐν μορίῳ, οἷον ἐν χειρὶ δακτύλιον· ἢ ὡς μέρος, οἷον χεῖρα ἢ πόδα· ἢ ὡς ἐν ἀγγείῳ, οἷον ὁ μέδιμνος τοὺς πυροὺς ἢ τὸ κεράμιον τὸν οἶνον, –οἶνον γὰρ ἔχειν τὸ κεράμιον λέγεται, καὶ ὁ μέδιμνος πυρούς· ταῦτ' οὖν ἔχειν λέγεται ὡς ἐν ἀγγείῳ– ἢ ὡς κτῆμα· ἔχειν γὰρ οἰκίαν καὶ ἀγρὸν λεγόμεθα. λεγόμεθα δὲ καὶ γυναῖκα ἔχειν καὶ ἡ γυνὴ ἄνδρα· ἔοικε δὲ ἀλλοτριώτατος ὁ νῦν ῥηθεὶς τρόπος τοῦ ἔχειν εἶναι· οὐδὲν γὰρ ἄλλο τῷ ἔχειν γυναῖκα σημαίνομεν ἢ ὅτι συνοικεῖ. ἴσως δ' ἂν καὶ ἄλλοι τινὲς φανείησαν τοῦ ἔχειν τρόποι, οἱ δὲ εἰωθότες λέγεσθαι σχεδὸν ἅπαντες κατηρίθμηνται.

14–15 τῷ λευκὸν . . . τὸ μέλαν n : [P] γίγνεσθαι τῷ om. Λ : [P] 17 τὸ+ δὲ B(Λ)I,?Γ : *φσ γὰρ om. ΔP 18 ἢ+ὡς Γ,?Δ : καὶ I 19 ἐπιστήμην+ τινὰ BΔP,?Π 21 τὰ om. n,?,IP 25 τοὺς πυροὺς B : [T] 26 οὖν+πάντα BΔ : [P] 27 prius καὶ] ἢ BΛI λεγόμεθα semel om. ΔPI 29 εἶναι om. BI : *ο : [PΓ]

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΚΑΤΗΓΟΡΙΑΙ n

yer değiştirme karşıt. Sözgelişi ak olmak kara olmaya, çünkü karşıt niteliklere doğru bir yer değiştirme olduğunda başkalaşma var.

Pek çok biçimde iye olmak denir: Ya huyla yatkınlık ya da başka bir nitelik olarak –bilgiye, erdeme iye olduğumuz söylenir–; ya nicelik olarak –sözgelişi birinin iye olduğu boy uzunluğu: üç ya da dört dirsek uzunluğa iye olmak denir; ya bedene giyilenler olarak, sözgelişi manto ya da pelerine iye olmak denir; ya bedenin bir parçasındakiler olarak, sözgelişi elde parmağa iye olmak; ya bedende bir parça olarak, sözgelişi ele, ayağa iye olmak; ya bir kap içinde bulunanlar olarak, sözgelişi çuvalda buğdayın, testide şarabın olması: Çünkü bunlara bir kap içinde iye olmak denir; ya bir mal olarak, sözgelişi bir eve ya da tarlaya iye olduğumuz söylenir; bir karımız olduğu, kadının bir kocası olduğu da söylenir ama, bu son söylediğimiz iye olmak biçimlerine en uzak olan gibi görünüyor; çünkü karısı var derken onunla birlikte oturmasından başka hiçbir şeyi belirtmeyiz. Belki başka iye olmak biçimleri gösterilebilir ama, en çok kullanılanların hemen hepsinin sayıldığını söyleyebiliriz.

Sözlük

açıklamak: apodidomi
ad: onoma
adalet: dikaiosyne
ad bulmak: onomatopoein
ad durumu: ptosis onomatos
akıl: logos (akıldan pay alanlar ve almayanlar [22 b 39 vd.])
akla uygun: kata logon (22 a 14)
alan: pragmateia
alma: apodosis
anlamlı: semantikos
araç: organon
artma: auksesis
asıl: kyrios
aşırılık: hyperbole
ayırıcı özellik: diaphora
ayırma: diairesis
aynı: to auton
aynı anda: hama
azalma: meiosis
bağlantı: symploke
başkalaşma: alloiosis (nitelik değiştirme)
başlangıç: arkhe

belirlenmiş: aphorismenos
belirsiz: apo tykhes
belirsiz ad: anonymon – onoma aoriston
belirsiz eylem: rema aoriston
belirtmek: semainein
benzer: homoia
benzemezlik: anomoia
biçim: skhema – morphe (10 a 12, 16)
biçimçe: tropo (4 a 29 – 4 b 2)
bildirsel tamdeyim: logos apophantikos
bildirsel tümce: logos apophantikos
bileşik ad: onoma diploun – peplegmenon onoma (16 a 23-16 b 3 2)
bilgi: episteme
bilgisizlik: agnoia
bilinebilir (olan): episteton
bilinir: gnorimos
birleştirme: synthesis
bölümleme: diairesis
bölünmez: atomos
bulunan: hyparkhon
bütün: holos
bütünsel kaplam: hos katholou – hoti katholou
ciddi adam: spoudaios (erdemli)
cins: genos
cisim: soma
çapraz: kata diametron
çelişik: antikeimenon (20 a 30)
çelişikli soru: he erotesis dialektike
çelişme: antiphasis
çıkmaz: aporia
daha azlık: to hetton
daha çokluk: to mallon
değilleme: apophasis
değişmez: akineta
devinim: kinesis (değişme)
devrik: antikeimenon (11 b 16 – 11 b 17)
"dır": estin (einai)

dilbilimi: grammatike
doğal olarak: to physei
doğru: alethes – dikaios
doğrudan belli bir nesne: tode ti
doğruluk (adalet): dikaiosyne
dönüşüm: metabole
durgunluk: eremia
durum: keisthai
duygulanım: pathos
duyulabilir (olan): aistheton
duyum: aisthesis
düşünü: dianoia
düzen: taksis
edilginlik: paskhein
eklem: syndesmos
eksiklik: endeia
erdem: arete
erdemli: spoudaios
erdemsiz: phaulos
eşadlı: homonymon
eşanlamlı: synonymon
eşitlik: isotes
eşitsizlik: anisotes
etkilenme: pathos
etkinlik: poiein
evetleme: kataphasis
evirme: antistrephon
eylem: rema – praksis
eylem durumu: ptosis rematos
gelişigüzel: hopoter etykhon
genel anlamda: holos
görelik: pros ti
hal: ptosis
huy: hêksis
içkindir: onyparhkei
ikincil varlık: ousia deutera
ilineksel olarak: kata symbebokos

ilk varlık: prote ousia
ilke: arkhe
im: semaion
imlemek: semainein
iyelik: heksis – ekhein
kaplam: epi pleion
karşılık: apokrisis
karşı olum: antithesis
karşıt: enantios
karşıt önerme: apophansis enantia
kavram: noema
kendi başına: auto kath hauto
konu: skepsis
konum: thesis
konuşma: logos (14 a 36, b 2 v.d.)
kötülük: kakia
mal: ktema
nasıllık: poion
neden (niçin, gerekçe): logos (21 b 14)
neden: aitios
nelik: poia
nesne: pragma (4 a 36)
nicelik: poson
nitelik: poiotes – poion
olan: to on
olanak: dynamis
olanaklı: dynatos
olanaksız: adynatos
olanaksızlık: adynamia
olgu: pragma
olumsal: endekhomenos
oluş: genesis
orta olma: mesotes
orta terim: ana meson
ortak: koinos
ölçülülük: sophrosyne
öncelik: proteron

önerme: logos (12 b 6-10) (14 b 14-22) – kataphansis
özgü: idios
özne: hypokeimenon (21 b 28 vd.)
parça: meres
rastgele: pros to tykhon
renk: khroma
ruh: psykhe
sanı: doksa - hypolepsis (8 b 10)
saltık olarak (anlamda): haplōs
ses: phone
sıra: taksis
simge: symbolon
sorun: aporia (8 a 13) – amphisbetesis
söylenen: legomenon
söz: logos (4 b 8, 23, 32; 5 a 33; 16 a 2, 22; 17 a 22; 19 a 33)
sözce: phasis
sürekli: synekhes
süreksiz: diorismenos
tam: heis, mia, hen
tam devrik: antikeimenon
tanım: orismos (6 a 16) – logos (1 a 2, 4, 6, 7, 11; 2 a 20, 24-33; 3 a 16, 20; 3 b 2, 7, 8; 16 b 1)
tanıtlamalı bilim: episteme apodeiktike
tasarım: homoioma
taşıyıcı: hypokeimenon
tekil: kath hekaston
tek tek olanlar (ele alınanlar): kath hekasta
tümce: logos (16 a 31; 16 b 26, 33; 17 a 8)
tümel: katholou
tümevarma: epagoge
tür: eidos
türemiş: paranymon
uslamlama: logos (19 b 19)
uygun: oikeios
uylaşımsal olarak: kata synthake
uzak: allotrios
uzam: pou

üstlenen için: to dektiko hyparkhein
varlık: ousia (belli tek nesne, cins, tür, nelik)
yakın: oikeios
yalın ad: onoma haploun
yalın önerme: apophansis haple
yanıltıcılık: apate
yanlış: pseudes
yargı: doksa
yatkınlık: diathesis
yazı: grammata
yer: khora (6 a 13); topos (4 b 25; 5 a 7 vd.)
yer değiştirme: kata topon metabole
yoksunluk: steresis
yükleme: kategoria
yüklemek: kategorein
yokoluş: phthora
zaman: pote (kategorilerden biri); khronos (1 b 26; 2 a 2; 11 b 12)
zamandaş: hama
zorunlu: anankaios

SÖZLÜĞE NOTLAR

1. Sözlükte, çok değişik anlamlarda kullanılan 'logos'un nerede, hangi anlamda kullanıldığı verilmiştir; bunun yanı sıra aynı Türkçe karşılıkla çevirdiğimiz iki ayrı sözcüğün birinin kullanıldığı yer gösterilmiş, ötekinin de buradan yola çıkarak anlaşılabileceği düşünülmüştür.
2. *Peri Hermeneias*'da Aristoteles, pek çok yapıtından söz etmektedir. Bunların kullanıldıkları yerler: *Analytika*: 19 b 31; *Peri Psykhes*: 16 a 8; *Topika*: 20 b 26; ?*Peri poietikes*: 17 a 5; ?*Peri Retorikes*: 17 a 5; ?*Sophistikoi elenkhoi*: 17 a 36
3. 1 a – 15 b *Kategoriai*'ın, 16 a – 24 b *Peri Hermeneias*'ın numaralarıdır.